# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΕΞΟΔΙΑΣΤΙΚΟΥ ΤΩΝ

Ἱερέων, ἥπερ ἔκπαλαι χρῶνται αἱ τῆς Κερκύρας Ἐκκλησίαι, τὰ νῦν τυπωθεῖσα διὰ δαπάνης

ΙΩΑΝΝΟΥ ΒΑΠΤΙΣΤΟΥ ΙΕΡΕΩΣ

Τοῦ Κιγάλα Ἄρχοντος Μοναστηρίων, καὶ Πρωτοψάλτου.

Τῷ παναιδεσιμωτάτῳ, καὶ σεβασμιωτάτῳ Κυρίῳ Κυρίῳ.

ΧΡΙΣΤΟΔΟΥΛΩ ΤΩ ΒΟΥΛΓΑΡΙ.

Μεγίστῳ Πρωτοπαπᾷ, καὶ προέδρῳ Κερκύρας.

Ταπεινῶς ἀφιερωθεῖσα.

Παρὰ δὲ Γεωργίου Ἱεροδιακόνου τοῦ Μαϊώτου ἐπιμελῶς διορθωθεῖσα.

ΕΝΕΤΙΗΣΙΝ. 1691.

Παρὰ Νικολάῳ τῷ Σάρῳ. αχϟα΄.

ΤΩ͂

# ΠΑΝΑΙΔΕΣΙΜΩΤΑΤΩ

## ΚΑΙ' ΣΕΒΑΣΜΙΩΤΑ'ΤΩ ΜΕΓΙ'ΣΤΩ.

Πρωτοπαπᾷ, καὶ προέδρῳ τῆς περιφήμου
πόλεως, καὶ πάσης νήσου Κερ-
κύρας Κῷ Κυρίῳ.

## ΧΡΙΣΤΟΔΟΥ'ΛΩ ΤΩ͂ ΒΟΥ'ΛΓΑΡΙ

Τὴν μετ' εὐλαβείας προσήκουσαν μετάνοιαν.

ΤΗ'Ν παροῦσαν τοῦ ἐξοδιαστικοῦ τῶν ἀπερχομένων Ἱε-
ρέων Ἀκολουθίαν, τοῖς τύποις ἔναγχος ἐκδο-
θεῖσαν, καθὰ ταύτῃ ἔκπαλαι ἡ παρ' ἡμῖν
τῆς Κερκύρας ἐκκλησία χρᾶται οὐκ ἄλλῃ τινὶ ἐξουσίᾳ
ὡς ἔμοιγε. δοκεῖ πανοιδεσιμώτατε Δέσποτα, μέγιστε
τῆς λαμπρᾶς πόλεως, πάσηςτε νήσου Κερκύρας Ἀρχιπρεσβύτα,
συνιστᾶσθαι προσήκει, εἰμὴ τῇ ὑπερτάτῃ σου ἀξίᾳ οἷα κοινοῦ ἀντιλή-
πτορος, γενναίου ὑπερασπιστοῦ τοῦ θειοτάτου τῆς Ἱερωσύνης ἀξιώ-
ματος. οὗτινος ἡ εὔκλεια, ἡ εὐκοσμία, καὶ μεγαλοπρέπεια τὰ μάλιστα
τῇ σῇ ἀγρύπνῳ προνοίᾳ ὡσεὶ μέρα ἐπιμελεῖται. μικρὸν μέντοι τῷ

μήκει τοῖς ἀτελεστέροις, καὶ ἁπλουστέροις δόξει τὸ προσφερόμενον, μέγιστον δ' ὅμως, καὶ ὑπέρτιμον τοῖς σοφωτέροις, καὶ δοκιμωτέροις ἐπείπερ δεήσεις, εὐχὰς, ὕμνους, καὶ δοξολογίας τῇ ὑπερτάτῳ τριάδι, τῷ παντάνακτι τῶν ὅλων Θεῷ ὑπὲρ τῶν κεκοιμημένων Ἱερέων προσφερομένας περιέχει. ποία τοιγαροῦν ἄλλη ἐξουσία τὰς τῷ Ἱερῷ χαρακτῆρι τῆς Ἱερωσύνης κεκοσμημένας ψυχὰς, τῷ φοβερῷ βήματι τοῦ ἀδεκάστου Κριτοῦ παραστησομένας συμπροδεῦσαι ἕξεσιν, εἰμὴ τῇ σῇ ἀσυγκρίτῳ ἀξίᾳ. ἥντινα ἡ ἔνθεος κλῆσις, ὁ Ἰσάγγελος βίος, ἡ ἄμεμπτος πολιτεία, καὶ τὰ χρηστὰ σου ἤθη τῆς πρὸς Θεὸν παῤῥησίας ἐναργῶς οἰκειοτάτην Ἐπιμαρτυροῦσι. ἢ ποία τις ἑτέρα ἀρετὴ τοὺς ὑπὸ σοῦ πρεσβυτέρους, τῆς τῶν οὐρανίων ἀγαθῶν ἀπολαύσεως Ἱμειρομένους πρὸς τὴν ἐκεῖσε ἀναπέμψει μακαριότητα, εἰμὴ ἡ ἐν σοὶ οἰκοῦσα θεία χάρις, ἥτις ἀρχέτυπον οὖσα, καὶ ἐπίλογον τῶν ἀρετῶν ἁπασῶν, οἰκήματι πασῶν τῶν χαρίτων διαβεβαιοῖ; ἢ ποῖος τις ἄλλος πρέσβυς εὐμενέστατος ὑπὲρ τῶν ἐπταισμένων μεσιτεύσει, εἰμὴ σὺ ὁ Γνήσιος τοῦ Δεσπότου δοῦλος, οὗτινος αἱ πρεσβεῖαι, καὶ δεήσεις ὡς εὐῶδες θυμίαμα τῷ δεσπότῃ προσφερόμεναι παρὰ τοῦ Βασιλέως Ἱλαρῷ τῷ προσώπῳ δεχθήσονται; καὶ οἷάπερ διὰ τῆς ὑπερτάτης Κλίμακος τοῦ παλαιοῦ Ἰακὼβ οἱ οὐράνιοι νόες ἀνέβαινον εἰς οὐρανοὺς, καὶ κατέβαινον εἰς τοὺς ἀνθρώπους, οὕτωσὶ αἱ πρεσβεῖαι, καὶ δεήσεις σου ὑπὲρ ἀφέσεως, καὶ σωτηρίας τῶν Ἱερέων, διὰ τῆς ὑπερτάτης ἀξίας σοῦ τοῦ νέου Ἰακὼβ τῷ Βασιλεῖ Θεῷ ἀναφερομένας, τὴν ἄφεσιν, καὶ συγχώρησιν τοῖς πᾶσι πλουσιοδωροῦσι. καὶ εἴτις τῶν ἔξω ἔφη τὸν φιλόσοφον Ἀναξαγόρα ἀῤῥήτου ἐμπίπλασθαι χαρμοσύνης, τὸν πάμφωτον φωστῆρα τοῖς ὀφθαλμοῖς ὁρῶντα, ἐπεὶ διὰ τῶν ἐκείνου λαμπρῶν ἀκτίνων τῶν τοῦ ἡλιακοῦ φωτὸς παμφαῶν λάμψεων ἀπελάμβανε, αἱ τῶν ἐν πίστει ἀπερχομένων Ἱερῶν ἀνδρῶν ψυχὰς θείας ἐμπίπλανται εὐφροσύνης, αὐτοψεὶ ὁρῶσαι ἐν αὐτῇ τῇ ἐξόδῳ παριστάμενον σὲ τὸν λαμπρὸν φωστῆρα τῆς Ἐκκλησίας κατὰ χάριν πληρούμενον τοῦ θείου φωτὸς, καὶ διὰ τῶν σῶν εὐχῶν, καὶ δεήσεων ἀνταυγάζων ταῖς μυστικαῖς λάμψεσι τοῦ ἀϊδίου φωτὸς τῆς μακαριότητος ἐκείνας ἀποπληρῶν. Δέξαι τοίνυν ἀντιβολῶ ὦ Ἱερὰ, καὶ πανναιδέσιμος Κεφαλὴ τὸ παρ' ἐμοῦ σοι προσφερόμενον δῶρον, σημεῖον εἰλικρινοῦς εὐνοίας, καὶ εὐσεβοῦς εὐλαβείας τεκμήριον, διατή-



ρησον τοῦτο ἀβλαβὲς τῶν ἐπιβουλῶν τῶν ἐναντίων λυμαιώνων, ὧν τὰ χείλη πικρίας γέμει, καὶ ἡ Γλῶσσα δολιότητος ὡσεὶ ὄφεως ἠκονισμένη κατὰ τῆς ἀμέμπτου ἀληθείας, ἀξίωσόν με τὸν δοῦλόν σου τῶν Ἱερῶν σου εὐλογιῶν, καὶ ζῆθι εἰς μακραίωνας ἐν εὐτυχείᾳ, καὶ εὐδαιμονίᾳ. Ἔῤῥωσο.

Ἐκ πόλεως Κερκύρας Αὐγούστου πέμπτη μεσοῦντος, κατὰ τὸ ͵αχψ΄. ἔτος τῆς σωτηρίας ἡμῶν.

Τῆς σῆς πανναιδεσιμότητος.

Ταπεινὸς καὶ πιστὸς δοῦλος

Ἰωάννης Βαπτιστὴς Ἱεροθύτης ὁ Κιγάλας
ἄρχων τῶν μοναστηρίων καὶ
πρωτοψάλτης.

Τῶν

ΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΤΟΙ͂Σ ἘΝΤΕΥΞΟΜΈΝΟΙΣ.

Ἐπείπερ ἡ τοῦ σχεδιαστικοῦ τῶν Ἱερέων Ἀκολουθία ἥτινι ἔκπαλαι χρῶνται αἱ ἐκκλησίαι τῆς ἐμῆς πατρίδος Κερκύρας, τυγχάνει χειρόγραφος ἤδη ἐκ πολλοῦ συνταχθεῖσα παρ' ἀξίων προσώπων τῆς πόλεως. καὶ διὰ τὸ μὴ εἶναι τετυπωμένην, ἐν πάσαις οὐκ εὑρίσκεται ταῖς ἐκκλησίαις, μᾶλλον δὲ καὶ νενοθευμένη, ἠβουλήθην δι' ἰδίας δαπάνης, αὐτὴν ἐκδοῦναι τοῖς τύποις, καὶ διὰ τὴν ὀφειλὴν, ἥνπερ ἀπαιτεῖ τὸ τοῦ πρωτοψάλτου Ὀφφίκιον, καὶ διὰ τὸ μικρόν τι μεμναμόσυνον κτήσασθαι ὑπὲρ ἁμαρτιῶν φημὶ συγχωρήσεως παρὰ τῶν ἀδελφῶν μου καὶ συλλειτουργῶν Ἱερέων, ὅτε τὸ θεῖον διὰ τῆς τοιαύτης ἐξιλεοῦνται Ἀκολουθίας, ἧστινος τὰς δεήσεις εὐχὰς καὶ δοξολογίας τῷ ἀθανάτῳ ἐκπεμπομένας Θεῷ ὁ θέλων σκέψασθαι, εὑρήσει αὐτὴν ὡραιοτάτην, καὶ παναρμόδιον. πλουτεῖ γὰρ τῶν θείων Εὐαγγελίων, τῶν τε τοῦ Παύλου Ἐπιστολῶν, ψυχοσωτηρίου Κανόνος, τροπαρίων παντέρπνων, εὐχῶν εὐχαρίστων, καὶ ἄλλων τινῶν κατανύξεως ἔμπλεων. ἀφιερῶσαι ταύτην μοι ἔδοξε τῷ παναιδεσιμωτάτῳ Πρωτοπαπᾷ Κυρίῳ Κυρίῳ Χριστοδούλῳ τῷ Βούλγαρει, τοῦτο μὲν ὅτι πρόεδρος ὑπάρχει τῆς πόλεως, ἄλλο δὲ ὅτι παρὰ τῆς αὐτοῦ ἀξίας. ἀναξίως ἀνεβιβάσθην, οὐ μόνον εἰς τὸ τοῦ πρωτοψάλτου ὀφφίκιον, ἀλλά γε, καὶ εἰς τὴν τῶν μοναστηρίων ἐπιστασίαν, καὶ τῶν ὑποψηφίων ἐξέτασιν, καὶ διὰ τοῦτο τὸ μικρὸν τουτὶ δῶρον, τῶν μεγίστων μου χρεῶν τεκμήριον τῇ αὐτοῦ ὑπερτάτῳ ἀξίᾳ ἐχαρισάμην. Ὅθεν οἱ ἐντευξόμενοι φίλτατοί μου παροικιῶται μὴ ὀνειδίσητε τὴν ἐμὴν αὐθάδειαν, ζήλῳ γὰρ θείῳ κεκίνημαι, δέξασθε δὲ μᾶλλον τὴν ἀγαθὴν διάθεσιν, μνημονεύοντες ἐν ταῖς θείαις ὑμῶν προσευχαῖς ἐμοῦ τοῦ ἀναξίου Ἱερέως. Ἔρρωσθε.





# ἈΚΟΛΟΥΘΙΑ ΕἸΣ

## ΚΟΙΜΗΘΈΝΤΑ ἹΕΡΈΑ.

Ἀπέρχονται δύο, ἢ τρεῖς ἱερεῖς εἰς τὸν κοιμηθέντα ἱερέα, καὶ ἐκδύουσιν αὐτὸν, καὶ ἀποπλύνουσιν αὐτὸν μετὰ ὕδατος χλιαροῦ, καὶ καθαροῦ, καὶ ἀποσπογγίζουσιν ὅλον τὸ σῶμα αὐτοῦ, καὶ ἐνδύουσιν αὐτὸν ἱμάτιον καθαρὸν, καὶ ἀντὶ σαββάνου τὴν ἱερατικὴν στολὴν ἅπασαν. εἰς τὸ καθ' ἓν ἄμφιον ψάλλοντες τὸ προσῆκον τροπάριον τοῦτ' ἔστιν εἰς τὸ στιχάριον. τὸ,

Ἀγαλλιάσεται ἡ ψυχή σου ἐπὶ τῷ Κυρίῳ, ἐνέδυσε γάρ σε ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ σε, ὡς νυμφίῳ περιέθηκέ σοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ σε κόσμον πάντοτε νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὸ ἐπιτραχήλιον. τὸ,

Εὐλογητὸς ὁ Θεὸς ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ, ὡς μῦρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα τὸν πώγωνα τὸν Ἀαρὼν, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ, ὡς δρόσος Ἀερμὼν. πάντοτε.

Οὕτω, καὶ εἰς τὰ λοιπὰ ἄμφια, καὶ ὅταν ἀμφιάσωσιν αὐτὸν τὴν ἱερατικὴν τιθεῖσι τὸ ἱερὸν εὐαγγέλιον ἐπάνω τῶν στέρνων τοῦ τεθνηκότος. ἄρχονται τὸν ν. Ψαλμὸν. τούτου δὲ γενομένου καλύπτουσι τὴν κεφαλὴν αὐτοῦ ἕως τοῦ μετώπου μετὰ καλύμματος, καὶ τιθέασι τῇ δεξιᾷ αὐτοῦ χειρὶ γεγραμμένην τὴν εὐχὴν ταύτην.



ΠΑΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΤΟ πλήρωμα τοῦ νόμου, καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων Χριστὲ ὁ Θεὸς ὁ πληρώσας πᾶσαν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ εὐλογήσαντος τοῦ ἱερέως, ἀμφιέννυνται οἱ ἱερεῖς ἅπαντες τὰ ἱερὰ αὐτῶν φελώνια, ἄρχονται τὸ τρισάγιον, παναγία Τριάς, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.

Ὅτι σοῦ ἐστὶν ἡ Βασιλεία.

Εἶτα τὰ τροπάρια. ἦχος, δʹ.

ΜΕτὰ πνευμάτων δικαίων τετελειωμένων τὴν ψυχὴν τοῦ δούλου σου σῶτερ ἀνάπαυσον, φυλάττων αὐτὴν εἰς τὴν μακαρίαν ζωὴν τὴν παρὰ σοῦ φιλάνθρωπε.

ΕΙς τὴν κατάπαυσίν σου Κύριε, ὅπου πάντες οἱ ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

Δόξα.

ΣΥ εἶ ὁ Θεὸς ἡμῶν ὁ καταβὰς εἰς ᾅδην τὰς ὠδίνας τῶν πεπεδημένων ἔλυσας, καὶ τὴν ψυχὴν τοῦ δούλου σου Σῶτερ ἀνάπαυσον.

Καὶ νῦν.

ΗΜόνη ἁγνή, καὶ ἄχραντος παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τὴν ψυχὴν αὐτοῦ.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι Δεόμεθα ὑπὲρ κοιμήσεως, ἀνέσεως, καὶ αἰωνίου ἀναπαύσεως τῆς ψυχῆς τοῦ ἐν μακαρίᾳ τῇ λήξει ἀειμνήστου γενομένου δούλου τοῦ Θεοῦ. Ὁ δεῖνος. Ἱερέως ἀδελφοῦ, καὶ συλλειτουργοῦ ἡμῶν, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα ἑκούσιόν τε, καὶ ἀκούσιον. ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὴν ψυχὴν αὐτοῦ ἔνθα οἱ δίκαιοι ἀναπαύονται. τὰ ἐλέη τοῦ Θεοῦ, τὴν Βασιλείαν τῶν οὐρανῶν, καὶ ἄφεσιν τῶν ἑαυτοῦ ἁμαρτιῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ, καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ προεστὼς τὴν εὐχήν.

ΕΥχαριστοῦμέν σοι Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι σοῦ μόνου τὸ ζῆν ἀθάνατε,



νατε, καὶ ἡ δόξα ἀκατάληπτος, καὶ ἡ φιλανθρωπία ἄφατος, καὶ ἡ Βασιλεία ἀδιάδοχος, καὶ οὐκ ἔστι προσωποληψία παρὰ σοί. πᾶσι γὰρ ἀνθρώποις τὸ κοινὸν τοῦ βίου ἔταξας, τῶν ὅρων τοῦ βίου πληρωθέντων, διὸ ἱκετεύομέν σε Κύριε τὸν δοῦλόν σου, καὶ συλλειτουργὸν ἡμῶν γενόμενον. Ὁ δεῖνα. Τὸν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κοιμηθέντα, ἐν κόλποις Ἀβραάμ, καὶ Ἰακὼβ ἀνάπαυσον. καὶ ὥσπερ ἐπὶ τῆς γῆς, ἐν τῇ Ἐκκλησίᾳ λειτουργὸν αὐτὸν κατέστησας, οὕτω καὶ ἐν τῷ οὐρανίῳ σου θυσιαστηρίῳ ἀνάδειξον Κύριε, ἐπὶ ἀνθρώπων πνευματικῇ ἀξίᾳ κατεκόσμησας, ἐπὶ Ἀγγέλων τῆς δόξης ἀκατάκριτον πρόσδεξαι, αὐτὸς ἐπὶ τῆς γῆς τὴν ζωὴν αὐτοῦ ἐδόξασας, αὐτὸς δὲ καὶ τὴν ἔξοδον τοῦ βίου αὐτοῦ, ἐν τῇ εἰσόδῳ τῶν Ἁγίων σου δικαίων, τὸ Πνεῦμα αὐτοῦ μετὰ πάντων τῶν ἀπ' αἰῶνος σοὶ εὐαρεστησάντων συναρίθμησον.

ΟΤι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή, καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου σου. Ὁ δεῖνος. Ἱερέως ἀδελφοῦ, καὶ συλλειτουργοῦ ἡμῶν Χριστὲ ὁ Θεός, καὶ.

ΟἈναστὰς ἐκ νεκρῶν, Κύριος ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, δυνάμει τοῦ τιμίου, καὶ ζωοποιοῦ Σταυροῦ, τῶν Ὁσίων, καὶ θεοφόρων Πατέρων ἡμῶν.

Καὶ Εὐλογοῦντες τὸ Λείψανον λέγουσιν.

ΑἸωνία σου ἡ μνήμη ἀξιομακάριστε, καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν.

Εἶτα ποιεῖ εὐλογητὸν ὁ ἀρχιμανδρίτης, καὶ Βαστάζουσι τὸ Λείψανον, καὶ ὁδοιποροῦντες λέγουσι τό.

ΔΌξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ἐκ Τρίτου.

ΚΥριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ἐκ Β.

Καὶ ἄρχονται τοῦ Ἐξαψάλμου.

ΚΥριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με.

Καὶ φθάσαντες εἰς τὴν Ἐκκλησίαν, ἀποτιθέασιν αὐτό, καὶ πληρουμένου τοῦ Ἐξαψάλμου ὁ ἀρχιμανδρίτης λέγει τὴν συναπτὴν ταύτην.

ἘΝ εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν Ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀειμνήστου δούλου τοῦ Θεοῦ ὁ δεῖνος ἱερέως ἀδελφοῦ ἡμῶν, καὶ τῆς σωτηρίας αὐτοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ κατασκηνῶσαι τὸ Πνεῦμα αὐτοῦ ἐν κόλποις Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα ἑκούσιόν τε, καὶ ἀκούσιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι αὐτόν τε, καὶ ἡμᾶς τῆς αἰωνίου κολάσεως τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ σῶσον ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ἐκφώνησις

Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ εὐθὺς Ἀλληλούϊα εἰς ἦχον, πλ. δ.

Στίχος α. Μακάριοι οὓς ἐξελέξω, καὶ προσελάβου Κύριε.

Ἀλληλούϊα.

Στίχος β. Καὶ τὸ μνημόσυνον αὐτοῦ εἰς γενεὰν, καὶ γενεάν.

Ἀλληλούϊα.

Καὶ τὰ τροπάρια ἦχος ὁ αὐτός

Ὁ Βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων, μόνε δημιουργὲ, ἀνάπαυσον Κύριε τὴν ψυχὴν τοῦ δούλου σου. ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθετο τῷ ποιητῇ, καὶ πλάστῃ, καὶ Θεῷ, ἡμῶν.

Δόξα. Τῷ ποιητῇ, καὶ πλάστῃ, καὶ Θεῷ ἡμῶν.

Καὶ



Καὶ νῦν.

Σὲ καὶ τεῖχος, καὶ λιμένα ἔχοιμεν, καὶ πρεσβείαν εὐπρόσδεκτον πρὸς ὃν ἔτεκες Θεὸν, Θεοτόκε ἀνύμφευτε, τῶν πιστῶν ἡ σωτηρία.

Εἶτα τὸν ν. Ψαλμόν.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός.

Καὶ εὐθὺς ὁ ἄμωμος ἀναγινώσκεται παρ' ἑνὸς τῶν ἱερέων ἐν μέσῳ τοῦ ναοῦ μυστικῶς. οἱ δὲ χοροὶ ψάλλουσιν αὐτὸν ὡς ἕπεται. χορὸς α.

Ἄμωμοι ἐν ὁδῷ Ἀλληλούϊα, μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.

Εὐλογητὸς εἶ Κύριε.

| | |
|---|---|
| Τὰς ἐντολάς σου. | Εὐλογητὸς εἶ Κύριε. |
| Σφόδρα. | Εὐλογητὸς εἶ Κύριε. |
| Τὰ δικαιώματά σου. | Εὐλογητός. |
| Τῶν λόγων σου. | Εὐλογητός. |
| Ἐξεζήτησα. | Εὐλογητός. |
| Οὐκ ἐπελαθόμην. | Εὐλογητός. |
| Ζῆσόν με. | Εὐλογητός. |
| Τὸν νόμον σου. | Εὐλογητός. |
| Τὰ μαρτύριά σου. | Εὐλογητός. |
| Τὰς ἐντολάς σου. | Εὐλογητός. |
| Οὐκ ἐπελαθόμην. | Εὐλογητός. |

Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

Ἐκ τρίτου τοῦτο λέγεται. καὶ ὁ ἀρχιμανδρίτης λαβὼν θυμιατὸν μνημονεύει λέγων

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης.

Ὅτι σὺ εἶ ἡ ἀνάστασις.

Εἶτα ἄρχεται ὁ Β. χορός.

| | |
|---|---|
| Σός εἰμι ἐγὼ σῶσόν με. | Σῶσόν με Σωτήρ μου σῶσόν με. |
| Σφόδρα. | Σῶσόν με Σωτήρ μου σῶσόν με. |
| Ἐξεζήτησα. | Σῶσόν με Σωτήρ μου. |
| Τὸν λόγον. | Σῶσόν με. |



Οὐκ

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

| | |
|---|---|
| Οὐκ ἐπελαθόμην. | Σῶσόν με. |
| Τὰ Μαρτύριά σου. | Σῶσόν με. |
| Δίδαξόν με. | Σῶσόν με. |
| Τὸν νόμον σου. | Σῶσόν με. |
| Τὰ δικαιώματά σου. | Σῶσόν με. |

Καὶ εὐθὺς ὁ α΄. Χορὸς.

Ἐπίβλεψον ἐπ᾽ ἐμὲ, καὶ ἐλέησόν με κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Ἐν τῇ Βασιλείᾳ σου Κύριε μνήσθητι τοῦ δούλου σου.

| | |
|---|---|
| Τὰς ἐντολάς σου. | Ἐν τῇ Βασιλείᾳ σου. |
| Τὰ δικαιώματά σου. | Ἐν τῇ Βασιλείᾳ σου Κύριε. |
| Τὸν νόμον σου. | Ἐν τῇ Βασιλείᾳ σου Κύριε. |
| Σφόδρα. | Ἐν τῇ Βασιλείᾳ σου Κύριε. |
| Οὐκ ἐπελαθόμην. | Ἐν τῇ Βασιλείᾳ σου Κύριε. |
| Τὰ Μαρτύριά σου. | Ἐν τῇ Βασιλείᾳ σου. |
| Ζῆσόν με. | Ἐν τῇ Βασιλείᾳ σου Κύριε. |

Ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

Εὐλογητὸς εἶ Κύριε δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἁγίων ὁ Χορὸς, εὗρε πηγὴν τῆς ζωῆς, καὶ θύραν Παραδείσου εὕρω κἀγὼ, τὴν ὁδὸν διὰ τῆς μετανοίας, τὸ ἀπολωλὸς πρόβατον ἐγώ εἰμι. ἀνακάλεσαί με. Σωτὴρ καὶ σῶσόν με.

Εὐλογητὸς εἶ Κύριε.

Οἱ τὸν ἀμνὸν τοῦ Θεοῦ κηρύξαντες, καὶ σφαγιασθέντες ὥσπερ ἄρνες καὶ πρὸς ζωὴν τὴν ἀγήρω ἅγιοι, καὶ ἀΐδιον μετατεθέντες, τοῦτον ἐκτενῶς μάρτυρες αἰτήσασθαι, ὀφλημάτων λύσιν ἡμῖν δωρήσασθαι.

Εὐλογητὸς εἶ Κύριε.

Οἱ τὴν ὁδὸν τὴν στενὴν βαδίσαντες τεθλιμμένην πάντες οἱ ἐν βίῳ, οἱ τὸν Σταυρὸν ὡς ζυγὸν ἀράμενοι, καὶ ἐμοὶ ἀκολουθήσαντες ἐν πίστει, δεῦτε ἀπολαύετε, ἃ ἡτοίμασα ὑμῖν βραβεῖα, καὶ στέφη τὰ οὐράνια.

Εὐλογητὸς εἶ Κύριε.

Εἰκών εἰμι τῆς ἀρρήτου δόξης σου, εἰ καὶ στίγματα φέρω πταισμάτων,



οἰκτείρησον τὸ σὸν πλάσμα δέσποτα, καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ, καὶ τὴν ποθεινὴν πατρίδα παράσχου μοι, Παραδείσου πάλιν ποιῶν πολίτην με.

Εὐλογητὸς εἶ Κύριε.

Ὁ πάλαι μὲν ἐκ μὴ ὄντων πλάσας με, καὶ εἰκόνι σου θείᾳ τιμήσας, παραβάσει ἐντολῆς δὲ πάλιν με ἐπιστρέψας εἰς γῆν, ἐξ ἧς ἐλήφθην, εἰς τὸ καθ᾽ ὁμοίωσιν ἐπανάγαγε, τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι.

Εὐλογητὸς εἶ Κύριε.

Ἀνάπαυσον ὁ Θεὸς τὸν δοῦλόν σου, καὶ κατάταξον αὐτὸν ἐν παραδείσῳ, ὅπου χοροὶ τῶν Ἁγίων Κύριε, καὶ οἱ δίκαιοι λάμψουσιν ὡς φωστῆρες τὸν κεκοιμημένον δοῦλόν σου ἀνάπαυσον, παρορῶν αὐτοῦ πάντα τὰ ἐγκλήματα.

Δόξα.

Τὸ τριλαμπὲς τῆς μιᾶς θεότητος εὐσεβῶς ὑμνήσωμεν βοῶντες, Ἅγιος εἶ ὁ Πατὴρ ὁ ἄναρχος, ὁ συνάναρχος υἱὸς, καὶ θεῖον πνεῦμα φώτισον ἡμᾶς, πίστει σοι λατρεύοντας, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε σεμνὴ, ἡ Θεὸν σαρκὶ τεκοῦσα εἰς πάντων Σωτηρίαν, δι᾽ ἧς γένος τῶν ἀνθρώπων, εὕρατο τὴν σωτηρίαν, διὰ σοῦ εὕροιμεν παράδεισον, Θεοτόκε ἁγνὴ εὐλογημένη.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεὸς, ἐκ γ΄.
Καὶ εὐθὺς συναπτὴ ὑπὸ τοῦ ἀρχιμανδρίτου.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως.

Τοῦ Κυρίου δεηθῶμεν. καὶ ὁ ἱερεὺς τὴν εὐχήν.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον. ὁ ἀποκτείνων, καὶ ζωοποιῶν, ὁ κατάγων εἰς ᾅδου, καὶ ἀνάγων. σὺ τῇ σοφίᾳ ἔπλασας τὸν ἄνθρωπον, καὶ πάλιν εἰς γῆν αὐτὸν ὑποστρέφεις, τὸ τῆς ψυχῆς χρέος ἀπαιτῶν. σὲ ἱκετεύομεν, πρόσδεξαι τὴν ψυχὴν τοῦ δούλου σου. ὁ δεῖνος. Καὶ ἀνάπαυσον αὐτὸν εἰς τοὺς κόλπους Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ δὸς αὐτῷ, τὸν στέφανον τῆς δικαιοσύνης σου, τὴν μερίδα τῶν σωζομένων,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

μένων, εἰς τὴν δόξαν τῶν ἐκλεκτῶν σου. ἵνα ὑπὲρ ὧν ἐκοπίασεν ἐν τῷ κόσμῳ τούτῳ διὰ τὸ ὄνομά σου, λάβῃ πλουσίαν τὴν ἀνταπόδοσιν ἐν ταῖς μοναῖς τῶν Ἁγίων. Χάριτι καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου πνεύματι νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ ὁ ἀρχιμανδρίτης ἐκφωνεῖ.

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ, καὶ.

Καθισ. νεκρ. ἦχος πλ. ά.

ἈΝάπαυσον Σωτὴρ ἡμῶν, μετὰ δικαίων τὸν δοῦλόν σου, καὶ αὐτὸν κατασκήνωσον ἐν ταῖς αὐλαῖς σου καθὼς γέγραπται, παρορῶν ὡς ἀγαθὸς τὰ πλημμελήματα, τὰ ἑκούσια αὐτοῦ, καὶ ἀκούσια, καὶ πάντα τὰ ἐν ἀγνοίᾳ, καὶ γνώσει φιλάνθρωπε.

Δόξα.

Καὶ πάντα τὰ ἐν ἀγνοίᾳ, καὶ γνώσει φιλάνθρωπε.

Καὶ νῦν.

ΤΟ ἐξ ἀνατολῶν... 

ΤΟ ξένον τῆς Παρθένου Μυστήριον τῷ Κόσμῳ ἀνεδείχθη σωτήριον, ἐξ αὐτῆς γὰρ ἐδείχθης ἄνευ σπορᾶς, καὶ σαρκὶ ἀνεδείχθης δίχα φθορᾶς ἡ πάντων χαρὰ Κύριε δόξα σοι.

Εἶτα τὸν Κανόνα μετὰ τῶν Εἱρμῶν.

Ὠδὴ ά. ἦχος, β.

ΒΥθοῦ ἀνεκάλυψε πυθμένα, καὶ διὰ ξηρᾶς οἰκείους ἕλκει, ἐν αὐτῷ κατακαλύψας ἀντιπάλους, ὁ κραταιὸς, ἐν πολέμοις Κύριος, ὅτι δεδόξασται.

Κύριε ἀνάπαυσον τὸν δοῦλόν σου.

ὨΔὴν ἐπιτάφιον συμφώνως, ᾄσωμεν τῷ μόνῳ ἀθανάτῳ. δυσωποῦντες ἐκτενῶς τοῦ ἀναπαῦσαι, τὸν μεταστάντα βίου σύσκηνον καὶ ἀδελφὸν ἡμῶν.

Κύριε ἀνάπαυσον.

ΟΧθὲς μεθ' ἡμῶν συμβιοτεύων, σήμερον ἐν τάφῳ κατοικίζει. σιωπῶν, καὶ μὴ λαλῶν τοῖς συνοδίταις. ὄντως τὰ πάντα ὡς ὄναρ δείκνυνται, καὶ ἀφανίζονται.

ΓΝωστοὶ, συγγενεῖς, καὶ ἀδελφοί μου, βλέποντες τὸν τόπον τῆς ταφῆς μου. μνημονεύετε τῆς συνδιαγωγῆς μου, καὶ τὸν κριτὴν δυσωπεῖτε πάντοτε, τοῦ ἀναπαῦσαί με.

Δόξα



Δόξα.

ΕΝ Βίβλῳ τῆς ἄνω κληρουχίας, τάξει τὴν ψυχήν σου ὁ Δεσπότης ἀδελφὲ συλλειτουργὲ, καὶ συμπολίτα, καὶ μὴ χωρίσῃ σε θείας στάσεως τῶν Λειτουργῶν αὐτοῦ.

Καὶ νῦν.

ἉΠάντων ἐπέκεινα κτισμάτων, καὶ ἁγιωτέρα τῶν Ἀγγέλων Θεοτόκε. τὸν ἐν πίστει μεταστάντα, σῇ μητρικῇ παρρησίᾳ, λύτρωσαι τοῦ αἰωνίου πυρός.

Ὠδὴ γ'. ὁ Εἱρμός.

ΣΤερέωσον ἡμᾶς ἐν σοὶ Κύριος, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν. Καὶ τὸν φόβον σου ἐμφύτευσον εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

ΜΕτέστη ἀπὸ γῆς ὁ ἀδελφὸς ἡμῶν, καὶ φίλος κελεύσει τῇ τοῦ δεσπότου. στερηθεὶς τῆς συγγενείας αὐτοῦ, καταλείψας δὲ ἡμῖν τὴν πολιτείαν, αὐτοῦ.

ἘΛπίδα πρὸς Θεὸν, καὶ πίστιν ἔχων βεβαίαν. μετῆλθε τῶν ἐπιγείων ὁ συνόμιλος, καὶ φίλος ἡμῶν, οὗ μνησθέντες δεόμεθα σωθῆναι αὐτόν.

Δόξα.

ΤΟῖς πᾶσι ποθεινὸς, καὶ ἀληθάργητος, ὑπῆρχες φιλόχριστε ἐν τῷ βίῳ, ἀλλ' αὐτὸς ὁ μεταστήσας σε, ἀναπαύσει ἐν χώρᾳ τῶν δικαίων αὐτοῦ.

Καὶ νῦν.

ἈΝύμνητε ἁγνὴ, καὶ πολυδόξαστε, μαρία Θεόνυμφε μὴ ἐλλείπῃς δυσωπεῖν ὑπὲρ τοῦ δούλου σου. λυτρωθῆναι πταισμάτων, καὶ κολάσεως.

Λέγεται ὁ ἄνωθεν εἱρμός.

ΣΤερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

Καὶ λέγεται ἐκτενὴ παρὰ τοῦ ἀρχιμανδρίτου.

Ἔτι, καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως.

Τοῦ Κυρίου δεηθῶμεν, καὶ ἡ εὐχὴ αὕτη παρὰ τοῦ προεστῶτος.

ὉΘεὸς τῶν Πνευμάτων, καὶ πάσης σαρκός. ὁ τὸν θάνατον καταπατήσας, τὸν δὲ διάβολον καταργήσας, καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος. αὐτὸς Κύριε ἀνάπαυσον τὴν ψυχὴν τοῦ κεκοιμημένου

δούλου

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

δούλου σου. ὀδεῖνος. Ἱερέως ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως. ἔνθα ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός, πᾶν ἁμάρτημα τὸ παρ' αὐτοῦ πραχθὲν ἐν λόγῳ, ἢ ἔργῳ, ἢ διανοίᾳ ὡς ἀγαθός, καὶ φιλάνθρωπος συγχώρησον. ὅτι οὐκ ἔστιν ἄνθρωπος ὃς ζήσεται, καὶ οὐχ ἁμαρτήσῃ, σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας. ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ λόγος σου ἀλήθεια.

Ἐκφώνησις παρὰ τοῦ ἀρχιμανδρίτου.

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή.

Καὶ εὐθὺς τὸ προκείμενον.

Μακαρία ἡ ὁδός, ᾗ πορεύῃ σήμερον ἀδελφέ, ὅτι ἡτοιμάσθη σοι τόπος ἀναπαύσεως.

Στίχος. Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου.

Πρὸς Θεσσαλονικεῖς. α.

Ἀδελφοί. οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπεῖσθε καθώς, καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα εἰ γὰρ πιστεύομεν, ὅτι Ἰησοῦς ἀπέθανε, καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ, ἄξει σὺν αὐτῷ. τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας, ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ Ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ, καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ, ἀναστήσονται πρῶτον. ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις. εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

Ἀλληλούϊα.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

α. Εἶπεν ὁ Κύριος, πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους, ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται, ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε, καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ, καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ, καὶ κρίσιν ποιεῖν. ὅτι υἱὸς ἀνθρώπου ἐστί, μὴ



ΛΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ … ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



θαυμάζετε τοῦτο. ὅτι ἔρχεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς. οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως. οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν. καθὼς ἀκούω, κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν. Ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός.

Εἶτα λαβὼν θυμιατὸν μυστικῶς λέγει

Ἐλέησον ἡμᾶς ὁ Θεός.

Ἔτι δεόμεθα ὑπέρ.

Ὅτι σὺ εἶ ἡ ἀνάστασις.

Οἱ δὲ χοροὶ ἄρχονται τῆς δ. ᾠδῆς,

ᾠδὴ δ.

Ἀκήκοα Κύριε φωνῆς σου, ὃν εἶπας, φωνὴ βοῶντος ἐν ἐρήμῳ. ὅτι ἐβρόντησας πολλῶν ἐπὶ ὑδάτων, τῷ σῷ μαρτυρούμενος υἱῷ, ὅλος
» γεγονὼς τοῦ παρόντος πνεύματος δὲ ἐβόησε. σὺ εἶ Χριστὸς Θεοῦ σο-
» φία, καὶ δύναμις.

Ἐξέλιπε σήμερον, ἐκ μέσου τῶν φίλων αὐτοῦ. συνόμιλος ὁμόφρων. διὸ φιλόχριστοι, φροντίδα τῶν μελλόντων, καὶ σπουδὴν ποιησώμεθα ἅπαντες. μήπως ὡς ἐκεῖνος ἐν τάχει τῶν ὧδε νῦν καταλήψομεν, καὶ τῆς ἐκεῖθεν χορείας ἐκπέσωμεν.

Ἡμάρτηκα Κύριε βοᾷ σοι κράζων ὁ δοῦλός σου ἐν θρήνοις, ὅνπερ μετέστησας τοῦ βίου τοῦ προσκαίρου, πρὸς σὲ τὸν φιλάνθρωπον, καὶ πλάστην. μή με εἰς πῦρ ἀποπέμψῃς, μνήσθητι, ὅτι Χριστοῦ ἐσμέν. ἀλλὰ τοῖς σοῖς προβάτοις συναρίθμησον.

Δόξα.

Γινώσκων μου ἅπαντα, σωτήρ μου νῦν τὰ κρύφια. μὴ δείξῃς ἐναντίον τῶν σῶν Ἀγγέλων, εἰς θέατρον αἰσχύνης τῆς σῆς θεοπλάστου εἰκόνος. ἐγὼ γὰρ ἐμόλυνα αὐτήν, τῇ ῥαθυμίᾳ τῶν πράξεων. πᾶσαν γραφὴν ἀποσείσας τῶν ἔργων μου.

Καὶ νῦν, θ.

Σωτήριος γέφυρα, πρεσβεία ἀκοίμητε. ἀντίληψις βεβαία, παρακαλοῦμεν σπλαγχνίσθητι. καὶ ἴδε ἡμῶν τὴν ἀφόρητον θλίψιν, τὴν λύπην, καὶ τὸ πένθος. καὶ εὐμενῶς ἐπίσκεψαι μῆτερ Θεοῦ, τοῦ ἀναπαῦσαι τὸν δοῦλόν σου.

Ὠδὴ, ε.

Μεσίτης Θεοῦ, καὶ ἀνθρώπων γέγονας.

Ἀπῆλθεν ἐκ γῆς. ὁ ποτὲ συνόμιλος, καὶ φίλος ἡμῶν. εἰς λῆξιν αἰώνιον, ἔνθα πάντες οἱ προπάτορες. ἔνθα ξοόν χορεία, καὶ δῆμοι ἀναρίθμητοι.

Τῆς σῆς δεξιᾶς. ὁ Θεὸς κατάταξον τὸν δοῦλον σου. εἰ καὶ ἔργοις ἥμαρτεν, ἀλλὰ τὸ βάπτισμα ἐσφράγισαι. τὴν ὀρθόδοξον πίστιν, φυλάξας μέχρι τέλους αὐτοῦ.

Δόξα.

Βοᾷ προσηνῶς. νοητῶς τῷ πνεύματι ὁ χθὲς σὺν ἡμῖν, μή μου ἐπιλάθεσθε, ὅταν ὕμνους πάντες ἀναμέλπετε, πρὸς τὸν Κύριον πίστει, ἀλλ᾽ εὔχεσθε σωθῆναί με.

Καὶ νῦν.

Μεγάλη ἐλπὶς, καὶ θερμὴ ἀντίληψις δεδώρηται. θεόθεν ἡ πάναγνος Θεοτόκος. τοῖς ὑμνοῦσιν αὐτήν. δι᾽ ἧς, κινδύνων πάντες ἁμαρτωλοὶ λυτρούμεθα.

Ὠδὴ, ς.

Ἐν ἀβύσσῳ πταισμάτων.

Ἀληθῶς ματαιότης τὰ σύμπαντα. νῦν γὰρ ἡ ζωὴ ἡμῶν, ὄντως ἐξέλιπεν. ὁ μεταστὰς βοᾷ ἡμῖν, διὸ πάντες Θεὸν ἱλεώσατε.

Φοβερὸν τὸ βλεπόμενον σήμερον. ὁ χθὲς συμπαρὼν, καὶ συμψάλλων ἡμῖν ἀδελφός. ἄφνω τοῦ νῦν ἐξέλιπε πορευθεὶς, ἔνθα πάντες βροτοὶ πορευσόμεθα.

Δόξα.

Εἰ καὶ λόγοις, καὶ ἔργοις σοὶ ἥμαρτε. μὴ καταδικάσῃς οἰκτίρμων τὸν δοῦλον σου. ἀλλὰ τῆς σῆς ἀξίωσον κληρουχίας Χριστὲ ὡς φιλάνθρωπος.

Καὶ νῦν.

Τῆς ἡμῶν σωτηρίας σὺ πρόξενος, καὶ ἀπεγνωσμένων ἀνθρώπων βοήθεια. παρθενομήτωρ δέσποινα, διὰ σοῦ τῶν πταισμάτων λυτρούμεθα.

Ὁ Εἱρμός.

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου ἐπικαλοῦμαι ἄβυσσον, ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Εἶτα ἐκτενὴ παρὰ τοῦ ἀρχιμανδρίτου.

Ἔτι, καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἔτι



Ἔτι δεόμεθα ὑπὲρ Μακαρίας μνήμης.

Ἐκφώνησις.

Ὅτι σὺ εἶ ἡ ἀνάστασις.

Καὶ εὐθὺς τὸ κοντάκιον.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον Χριστὲ, τὴν ψυχὴν τοῦ δούλου σου. ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμὸς, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Ὁ οἶκος.

Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος, ὁ ποιήσας, καὶ πλάσας τὸν ἄνθρωπον, οἱ βροτοὶ οὖν ἐκ γῆς διεπλάσθημεν, καὶ εἰς γῆν τὴν αὐτὴν πορευσόμεθα, καθὼς ἐκέλευσας ὁ πλάσας με, καὶ εἰπών μοι ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. ὅπου πάντες βροτοὶ πορευσόμεθα. ἐπιτάφιον θρῆνον ποιοῦντες ᾠδὴν τὸ ἀλληλούια.

Β' Εἶτα. Προκείμενον τοῦ Ἀποστόλου.

Μακαρία ἡ ὁδὸς, ᾗ πορεύῃ σήμερον ἀδελφὲ, ὅτι ἡτοιμάσθη σοι τόπος ἀναπαύσεως.

στίχ. Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου.

Πρὸς Ἑβραίους Ἐπιστολῆς.

Ἀδελφοὶ, ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ, καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ, καὶ ὁ ἐσθίων, Κυρίῳ ἐσθίει. εὐχαριστεῖ γὰρ τῷ Θεῷ. καὶ ὁ μὴ ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ, οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει. ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν. ἐάν τε ἀποθνήσκωμεν, τῷ Κυρίῳ ἀποθνήσκωμεν. ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ Κυρίου ἐσμέν. εἰς τοῦτο γὰρ Χριστὸς, καὶ ἀπέθανε, καὶ ἀνέστη, καὶ ἀνέζησεν. ἵνα καὶ νεκρῶν, καὶ ζώντων κυριεύσῃ.

Ἀλληλούια.

Β'. Εὐαγγέλιον. ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους. ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. ὁ ἐρχόμενος πρός με οὐ μὴ πεινάσῃ, καὶ ὁ πιστεύων εἰς ἐμὲ, οὐ μὴ διψήσῃ πώποτε. ἀλλ᾽ εἶπον ὑμῖν, ὅτι καὶ ἑωράκατέ με, καὶ οὐ πιστεύετε. πᾶν ὃ δίδωσί μοι ὁ Πατὴρ πρὸς ἐμὲ ἥξει, καὶ τὸν ἐρχόμενον πρός με, οὐ μὴ ἐκβάλλω ἔξω. ὅτι καταβέβηκα ἐκ τοῦ Οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρὸς, ἵνα πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέ-

C 2

+ τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με Πατρός

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

Καὶ λαβὼν θυμιατὸν μυστικῶς μνημονεύει.

Καὶ ὁ α΄. Χορὸς ψάλλει.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Εἰκόνος χρυσῆς ἐν πεδίῳ Δεηρᾶ λατρευομένης. οἱ τρεῖς σου παῖδες κατεφρόνησαν ἀθεωτάτου προστάγματος. μέσον δὲ πυρὸς ἐμβληθέντες δροσιζόμενοι ἔψαλλον. Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Εἰκόνα τὴν σὴν περικείμενος ὁ δοῦλός σου Φιλάνθρωπε, καὶ τὴν σφραγίδα τοῦ Βαπτίσματος νῦν μεταστὰς ἐξαιτεῖται σου, πίστει δι' ἡμῶν ἐλεήμων, τὴν σωτηρίαν νῦν δώρησαι, ὅπως σωζόμενος βοᾷ, Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Γνωστοὶ καὶ ἐμοὶ συνοδῖται καὶ χορὸς τῶν συμψαλλόντων, σώζεσθε πάντες, κἀμοῦ μέμνησθε, ὅταν πρὸς Κύριον εὔχησθε, καὶ ἐν οὐρανίοις θαλάμοις δυσωπεῖτε ταγῆναί με, τὸν μόνον εὔσπλαγχνον Θεὸν, τὸν τῶν Πατέρων ἡμῶν.

Δόξα.

Ὀδόντων βρυγμὸς, καὶ τὸ πῦρ τὸ φλογερὸν, σκότος ἐξώτερον τοῖς ἁμαρτήσασιν ηὐτρέπισται, οὗπερ τὸν δοῦλόν σου λύτρωσαι σῶτερ ἵνα πίστει σοι ψάλλῃ, καὶ ἐν αἰνέσει κραυγάζῃ σοι. Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Καὶ νῦν.

Τῶν σῶν οἰκετῶν τὰς δεήσεις δεχομένη παναμώμητε, πρὸς τὸν υἱόν σου μεσίτευσον τοῦ ἀναπαῦσαι τὸν δοῦλόν σου, σὲ γὰρ ἀκαταίσχυντον πρέσβιν, καὶ προστάτιδα ἔχομεν, καὶ ἱλασμὸν ἁμαρτιῶν καὶ σωτηρίαν ψυχῶν.

Ὠδὴ η΄. ὁ Εἱρμός.

Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, τῶν Ἑβραίων τοῖς παισὶ συγκαταβάντα, καὶ τὴν φλόγα εἰς δρόσον μεταβαλόντα Θεὸν, ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τί ἀπεκδέχῃ ὦ ψυχὴ, τί λογίζῃ πονηρὰ ἐν τῇ ζωῇ σου. δεῦρο φεῦξον ἐντεῦθεν, μετανοοῦσα θερμῶς, ὁρῶσα τὸ τέλος τὸ ἄδηλον, καὶ βόησον ἐν πίστει Θεῷ ἐλέησόν με.

Νῦν καθορῶντες ἀδελφοὶ, τὸν συνόμιλον ἡμῶν ἐν τάφῳ ὄντα, μνημονεύ-

μονευ-



μονεύσωμεν πάντες τῶν πεπραγμένων ἡμῶν, καὶ πόνοις Κυρίῳ προσπέσωμεν τῶν ἁμαρτημάτων Θεὸν ἐξιλεοῦντες.

Δόξα.

Μὴ κατακρίνῃς ἐν πυρὶ, τοῦ σοῦ δούλου τὴν ψυχὴν ὦ ἐλεήμων. μηδὲ προφθάσῃ τὸ ἐξώτερον, σκότος τὸ βαρύτατον. ἀλλὰ τοῦ ἐλέους, τοῦ σοῦ ἀξιωθείη.

Καὶ νῦν.

Ὁ ἐκ Παρθένου σαρκωθεὶς, καὶ τῇ φύσει μὴ τραπεὶς Χριστὲ σωτὴρ μου. τὴν συγχώρησιν δίδου, τῶν πεπραγμένων ἡμῶν. ἐν λόγῳ, ἢ ἔργῳ δεόμεθα. ταῖς τῆς Θεοτόκου, εὐχαῖς, καὶ τῶν Ἁγίων.

Ὠδὴ θ΄. ὁ Εἱρμός.

Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον τὸν ἀρρήτῳ σοφίᾳ ἥκοντα καινουργῆσαι τὸν Ἀδὰμ. Βρώσει φθορᾷ πεπτωκότα δεινῶς. ἐξ Ἁγίας Παρθένου. ἀφράστως σαρκωθέντα δι' ἡμᾶς. οἱ πιστοὶ ὁμοφρόνως. ἐν ὕμνοις μεγαλύνωμεν.

Ὁ Τῇ Τριάδι λατρεύσας, σὺν ἡμῖν εὐεργέτα. καὶ πᾶσαν ἐλπίδα τὴν εἰς σὲ, νῦν κεκτημένος ὁ δοῦλός σου. τῶν ἐντεῦθεν μετέστη, προφθάσας τῷ λιμένι σου Χριστέ. ὃν ἐν τόποις γαλήνης τῆς δόξης σου ἀείμνησον.

Περικυκλοῦντές σε πόθῳ ἀδελφὲ συνοδῖτα. Βοῶμεν τῷ οἰκτίρμονι Θεῷ. δέξαι ψυχὴν, ἣν μετέστησας, ἐκ θορύβων βιωτικῶν. καὶ κατάταξον σκηναῖς τῶν ἐκλεκτῶν σου, ἔνθα οἱ τῶν δικαίων χοροὶ συνεπαγάλλονται.

Δόξα.

Ὁ ἐκ μὴ ὄντων τὰ πάντα συστησάμενος λόγε. καὶ ζώντων κυριεύων, καὶ νεκρῶν δέξαι ἡμῶν τὴν παράκλησιν, καὶ κολάσεως ῥῦσαι τὸν δοῦλόν σου, καὶ πάντας τοὺς εἰς σὲ, τὰς ἐλπίδας θεμένους, ὁ μόνος ἀναμάρτητος.

Καὶ νῦν.

Φιλανθρωπίας ἐλέῳ, τὴν ἡμῶν κατεδέξω, πτωχείαν προσλαβέσθαι ἀγαθὲ, δούλου μορφὴν ἐνδυσάμενος, ἐκ Παρθένου ἀχράντου. διὸ μὴ καταισχύνῃς με Σωτὴρ. ἐν ἡμέρᾳ, ᾗ κρινθῇ τὰ τῶν ἀνθρώπων κρύφια

Τὸν Εἱρμόν.

Τὸν ἐκ Θεοῦ Θεὸν λόγον. τὸν ἀρρήτῳ.

Εἶτα συναπτή.

Ἔτι, καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἔτι δεόμεθα ὑπὲρ μακαρίας.

Τοῦ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Τοῦ Κυρίου δεηθῶμεν. καὶ ἡ εὐχὴ παρὰ τοῦ προεστῶτος.

Κύριε ὁ Θεὸς ἡμῶν. σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν, ἱλάθητι ταῖς πάντων ἁμαρτίαις, καὶ ὡς κατεδέξω διὰ τὴν σὴν ἀγαθότητα, λειτουργὸν γενέσθαι τὸν δοῦλον σου ὁ δεῖνα, ἱερέα ἀδελφὸν ἡμῶν, καὶ συλλειτουργὸν τοῦ Ἁγίου σου θυσιαστηρίου, καταξίωσον καὶ τῆς μερίδος τῶν εὐαρεστησάντων σοι, χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ Παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι. νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἐκφώνησις. Παρὰ τοῦ ἀρχιμανδρίτου.

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τῆς ἱερᾶς σου σωτῆρ μου, τάξεως δώρησαι ἡμῖν, τοῖς τὴν λατρείαν τελοῦσιν, ἣν καὶ ὁ κείμενος λάβοι, καὶ ἄφεσιν ἁμαρτιῶν, εὔσπλαγχνε μόνε οἰκτίρμων. Θεοτοκίον.

Σὺν Παναγίᾳ Παρθένε, πρεσβείαν ἔχομεν πάντες. πρὸς τὸν ἐκ σοῦ γεννηθέντα, διὸ πανύμνητε σπεῦσον. ἱκέτευσον τὸν υἱόν σου, ὑπὲρ τοῦ νῦν μεταστάντος.

Γ. Καὶ εὐθὺς. Προκείμενον τοῦ Ἀποστόλου.

Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται. στίχ.

Πρὸς σὲ Κύριε κεκράξομαι ὁ Θεός μου.

Πρὸς Ἑβραίους Ἐπιστολῆς.

Ἀδελφοί. τὸ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένη διὰ τῆς σαρκὸς ἡ ψυχή, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας, ἐν ὁμοιώματι σαρκὸς, χωρὶς ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ αὐτοῦ. ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ Πνεῦμα. οἱ γὰρ κατὰ σάρκα ὄντες τὰ τῆς σαρκὸς φρονοῦσιν. οἱ δὲ κατὰ Πνεῦμα τὰ τοῦ Πνεύματος. τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος. τὸ δὲ φρόνημα τῆς σαρκὸς ἔχθρα ἐστὶν εἰς Θεόν. τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται. ὥστε οἱ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται. ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ᾽ ἐν Πνεύματι, ἐπεὶ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν.

Γ. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. πάντα μοι παρεδόθη ὑπὸ τοῦ

Πατρός



Πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν, εἰ μὴ ὁ Πατήρ. οὐδὲ τὸν Πατέρα τὶς ἐπιγινώσκει, εἰ μὴ ὁ υἱός. καὶ ᾧ ἐὰν βούληται. ὁ υἱὸς ἀποκαλύψαι. δεῦτε πρός με πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς, καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶος εἰμὶ, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου, ἐλαφρόν ἐστιν. Οἱ Ἀναβαθμοί, ἦχος α.

Ἐν τῷ θλίβεσθαί με, εἰσάκουσόν μου τῶν ὀδυνῶν Κύριε σοὶ κράζω.

Τοῖς ἐρημικοῖς ἄπαυστος ὁ θεῖος πόθος ἐγγίνεται, Κόσμου οὖσι τοῦ Ματαίου ἐκτός. Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι τιμὴ, καὶ δόξα, ὥσπερ Πατρὶ, πρέπει, ἅμα, καὶ υἱῷ. διὰ τοῦτο ᾄσωμεν τῇ Τριάδι μονοκρατορίᾳ.

Καὶ εὐθὺς Προσόμοια. ἦχος α.

Πανεύφημοι Μάρτυρες.

Σοῦ Σῶτερ δεόμεθα τῆς σῆς γλυκείας μεθέξεως, τὸν μεταστάντα ἀνάπαυσον, καὶ κατασκήνωσον ἐν σκηναῖς δικαίων, ἐν μοναῖς Ἁγίων σου, καὶ ἐν ἐπουρανίοις σκηνώμασι, τῇ εὐσπλαγχνίᾳ σου, παρορῶν τὰ πλημμελήματα, καὶ παρέχων αὐτῷ τὴν ἀνάπαυσιν.

Οὐδεὶς ἀναμάρτητος οὐδεὶς, τῶν ἀνθρώπων γέγονεν. εἰ μὴ σὺ μόνε ἀθάνατε. διὸ τὸν δοῦλόν σου, ὡς Θεὸς οἰκτίρμων. ἐν φωτὶ κατάταξον, σὺν ταῖς χοροστασίαις ἀγγέλων σου, τῇ εὐσπλαγχνίᾳ σου. παρορῶν τὰ ἀνομήματα, καὶ παρέχων αὐτῷ τὴν συγχώρησιν.

Δόξα, καὶ νῦν. Θεοτοκίον Ὅμοιον.

Χριστὸν ἐκδυσώπησον τὸν σὸν, τόκον μητροπάρθενε, τὴν τῶν πταισμάτων συγχώρησιν, δοῦναι τῷ δούλῳ σου. τῷ σὲ Θεοτόκον, εὐσεβῶς κηρύξαντι, καὶ λόγῳ ἀληθεῖ δογματίσαντι., καὶ τῆς λαμπρότητος, τῶν Ἁγίων, καὶ φαιδρότητος, ἀξιῶσαι ἐν τῇ Βασιλείᾳ αὐτοῦ.

Προκείμενον τοῦ Ἀποστόλου.

Μακάριος, ὃν ἐξελέξω. στίχ.

Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου.

Ἀδελφοί. ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνασθε, ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ᾽ ἐν Πνεύματι, ἐπείπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν, εἰ δέ τις Πνεῦμα Θεοῦ οὐκ ἔχει, οὐκ ἔστιν αὐτοῦ, οὔτε ὁ Θεὸς ἐν αὐτῷ.

...ΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ...ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

αὐτῷ. τὸ σῶμα νεκρὸν διὰ τῆς ἁμαρτίας. τὸ δὲ Πνεῦμα, ζωὴ, καὶ δικαιοσύνη. ἤδη δὲ Πνεῦμα τοῦ ἐγείραντος ἐκ νεκρῶν, Ἰησοῦς οἰκεῖ ἐν ἡμῖν ὁ ἐγείρας τὸν Κύριον ἐκ νεκρῶν, ζωώσει τὰ θνητὰ σώματα ἡμῶν διὰ τοῦ ἐνοικήσαντος αὐτοῦ Πνεύματος ἐν ἡμῖν. ἄρα οὖν ἀδελφοὶ ὀφειλέται ἐσμὲν τῇ σαρκὶ τοῦ κατὰ σάρκα ζῆν. εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν, εἰδὲ κατὰ Πνεῦμα, εἰ καὶ θανεῖτε, ζήσεσθαι. ὅσοι γὰρ Πνεύματι Θεοῦ ἄγονται, οὗτοι εἰσὶν

Λ'. υἱοὶ Θεοῦ.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους. τοῦτο ἐστὶ τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν, καὶ πιστεύων εἰς αὐτὸν, ἔχει ζωὴν αἰώνιον, καὶ ἀναστήσω αὐτὸν ἐγὼ τῇ ἐσχάτῃ ἡμέρᾳ. ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν, ἐγώ εἰμι ὁ ἄρτος, ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ, καὶ ἔλεγον. οὐχ οὗτός ἐστιν ὁ Ἰησοῦς ὁ υἱὸς Ἰωσὴφ, οὗ ἡμεῖς οἴδαμεν τὸν Πατέρα, καὶ τὴν μητέρα, πῶς οὖν λέγει οὗτος, ὅτι ἐκ τοῦ οὐρανοῦ, καταβέβηκα; ἀπεκρίθη οὖν ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς. μὴ γογγύζετε μετ᾽ ἀλλήλων. οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με, ἑλκύσει αὐτὸν, καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

Οἱ Ἀναβαθμοί. ἦχος β΄.

Ἐν τῷ Οὐρανῷ τὰ ὄμματα, ἐκπέμπωμεν τῆς καρδίας. πρὸς σὲ Σωτὴρ, σῶσον με σῇ ἐπιλάμψει.

Ἐλέησον ἡμᾶς τοὺς πταίοντάς σοι πολλὰ καθεκάστην ὥραν Χριστέ μου, καὶ δὸς πρὸς τέλους τρόπους τοῦ μετανοεῖν σοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἁγίῳ Πνεύματι, τὸ Βασιλεύειν πέλει, τὸ ἁγιάζειν, τὸ κινεῖν τὴν κτίσιν. Θεὸς γάρ ἐστιν ὁμοούσιος Πατρὶ, καὶ λόγῳ.

Εἶτα Προσόμ. ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὕμνον τοῦ θανάτου, καὶ φθορὰν. σὺ τῷ ζωηφόρῳ θανάτῳ, καθεῖλες δέσποτα. πᾶσι δὲ ἐπήγασας, ζωὴν αἰώνιον. καὶ νεκροῖς ἐξανάστασιν, σωτὴρ ἐδωρήσω, ὅθεν σου δεόμεθα καὶ νῦν ἀνάπαυσον. πίστει, τὸν πρὸς σὲ μεταστάντα. καὶ τῆς ἀθανάτου σου δόξης, τοῦτον καταξίωσον φιλάνθρωπε.

Ἵνα τοὺς ἀνθρώπους κοινωνοὺς. θείας Βασιλείας ἐργάσῃ. Σταυρὸν ὑπέμεινας. θάνατον ἑκούσιον καταδεξάμενος. διὰ τοῦτο δεόμεθα. τῇ

σῇ εὐ-



σῇ εὐσπλαγχνίᾳ. μέτοχον ἀνάδειξον τῆς Βασιλείας σου. πίστει τὸν πρὸς σὲ μεταστάντα. καὶ τοῦ γλυκυτάτου σου κάλλους. τοῦτον καταξίωσον φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Ὑπὲρ ἅς τῆς προμήτορος ἁγνή. σὺ τὴν ὀφειλὴν συλλαβοῦσα, Θεὸν ἀπήτησας. τὸν τὴν ἀφθαρσίαν τε, καὶ τὴν ἀνάστασιν. τοῖς πιστοῖς χαριζόμενον, καὶ τῇ ἀθανάτῳ δόξῃ στεφανούμενον, σὲ μεγαλύνομεν. ὃν νῦν δυσωποῦσα μὴ παύσῃ, τοῦτον ἐν φωτὶ κατατάξαι τῆς αὐτοῦ θεότητος

Ε'. θεόνυμφε.

Προκείμενον τοῦ Ἀποστόλου.

Μακαρία ἡ ὁδὸς, ᾗ πορεύῃ σήμερον ἀδελφέ.

Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου. στιχ.

Πρὸς Κολασσαεῖς.

Ἀδελφοὶ, Χριστὸς ἐστὶν ἡ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας. ὅς ἐστὶν ἀρχὴ πρωτότοκος ἐκ νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων. ὅτι ἐν αὐτῷ ηὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι. καὶ δι᾽ αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτὸν. εἰρηνοποιήσας διὰ τοῦ Σταυροῦ αὐτοῦ καὶ τοῦ τιμίου αὐτοῦ αἵματος, εἴτε τὰ ἐπὶ γῆς, καὶ ἐν οὐρανῷ. καὶ ἡμᾶς ποτὲ ὄντας ἀπηλλοτριωμένους, καὶ ἐχθροὺς τῇ διανοίᾳ, ἐν τοῖς ἔργοις τοῖς πονηροῖς. νυνὶ δὲ ἀποκατήλλαξεν ἐν τῷ αἵματι τῆς σαρκὸς αὐτοῦ. διὰ τοῦ θανάτου παραστῆσαι ἡμᾶς ἁγίους, καὶ ἀμώμους, καὶ ἀσπίλους κατε-

Ε'. νώπιον αὐτοῦ.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον.

Εἶπεν ὁ Κύριος, ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν. ὃς δ᾽ ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, καὶ τοῦ Εὐαγγελίου οὗτος σώσει αὐτήν. τί γὰρ ὠφελήσει ἄνθρωπος ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; ὃς γὰρ ἂν ἐπαισχυνθῇ με, καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι, καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ, μετὰ τῶν Ἀγγέλων τῶν Ἁγίων, καὶ ἔλεγεν αὐτοῖς. ἀμὴν λέγω ὑμῖν, ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσονται θανάτου, ἕως ἂν ἴδωσι τὴν Βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

Οἱ Ἀναβαθμοί. ἦχος γ΄.

Τὴν αἰχμαλωσίαν Σιὼν, σὺ ἐξεῖλου ἐκ Βαβυλῶνος, κἀμὲ ἐκ τῶν παθῶν, πρὸς ζωὴν ἕλκυσον λόγε.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἘΝ τῷ νότῳ οἱ σπείροντες δάκρυσιν ἐνθέοις, θερίζουσι στάχυας. ἐν χαρᾷ ἀειζωΐας.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

ἉΓίῳ Πνεύματι πᾶσα ἀγαθοδωρία ὡς Πατρὶ, καὶ υἱῷ συναστράπτει, ἐν ᾧ τὰ πάντα ζῇ, καὶ κινεῖται.

Προσόμοια ἦχος γ΄. Τῷ τύπῳ τοῦ Σταυροῦ σου.

ΔΟξάζω τὸν Σταυρόν σου τὸν τίμιον. δι᾽ οὗ ζωὴ δεδώρηται, καὶ τρυφῆς ἡ ἀπόλαυσις. τοῖς ἐν πίστει, καὶ πόθῳ, σὲ ὑμνοῦσι μόνε πολυέλεε. διὸ βοῶμεν σοι Χριστὲ ὁ Θεὸς, τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον. ἔνθα πάντων ἐστὶ τῶν εὐφραινομένων ἡ κατοικία ἐν σοὶ, δοξάζειν σου τὴν θεότητα.

Ὁ Μόνος ἐλεήμων, καὶ εὔσπλαγχνος. ὁ ἔχων ἀγαθότητος πέλαγος. ὁ γινώσκων τὴν φύσιν τῶν ἀνθρώπων, ἣν ἐδημιούργησας. σὲ ἱκετεύομεν Χριστὲ ὁ Θεός. τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶ τῶν εὐφραινομένων ἡ κατοικία ἐν σοὶ, δοξάζειν τοῦ τὴν θεότητα.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

ΛΑμπάδα νοητὴν σὲ γινώσκομεν, βαστάζουσαν τὸ φέγγος τῆς Θεότητος ὁμιλῆσαν παχύτητι σαρκός. διὸ δυσώπησον ἁγνὴ, τὸν υἱόν σου, καὶ Θεόν. τὸν μεταστάντα ἐξ ἡμῶν, ἀναπαῦσαι ἐν σκηναῖς τῶν δικαίων. τοῦ δοξάζειν αὐτὸν ὡς φιλάνθρωπον.

ϛ΄. Προκείμενον τοῦ Ἀποστόλου.

Μακαρία ἡ ὁδὸς, ᾗ πορεύῃ σήμερον ἀδελφέ. στίχ.

Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου.

Πρὸς. Κορινθίους.

ἈΔελφοί. Χριστὸς ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἀποθανῶσιν, ἀλλὰ ζῶσι τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι, καὶ ἀναστάντι, ὥστε ἡμεῖς οὐκ οἴδαμεν κατὰ σάρκα Χριστόν. εἰ δὲ καὶ ἐγνώκαμεν, ἀλλὰ νῦν οὐκ ἔτι γινώσκομεν. ὥστε ἡ ἐν τῷ Χριστῷ καινὴ κτίσις, τὰ ἀρχαῖα παρῆλθον. ἰδοὺ γέγονε τὰ πάντα καινά. τὰ δὲ πάντα ἐκ τοῦ καταλλάξαντος ἡμᾶς, ἑαυτῷ διὰ Ἰησοῦ Χριστοῦ. καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς. ὡς ὅτι Θεὸς ὢν, ἐν Χριστῷ Κόσμον καταλλάσσων ἑαυτῷ. μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα, καὶ θέμενος ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς. ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι᾽ ἡμᾶς. δεόμεθα οὖν ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ. τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενόμεθα δι-





θα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ.

ϛ΄. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

ΕἾπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν Κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν Κόσμον, ἵνα κρίνῃ τὸν Κόσμον, ἀλλ᾽ ἵνα σωθῇ ὁ Κόσμος δι᾽ αὐτοῦ, ὁ πιστεύων εἰς αὐτὸν, οὐ κρίνεται, ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν, εἰς τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ. αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν Κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος, ἢ τὸ φῶς. ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα. πᾶς γὰρ ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ. ὁ δὲ ποιῶν τὴν ἀλήθειαν, ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν Θεῷ ἐστὶν εἰργασμένα.

Καὶ μνημονεύει μυστικῶς, ὡς οἱ λοιποί.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης.

Οἱ Ἀναβαθμοί: ἦχος δ΄.

ἘΚ νεότητός μου, πολλὰ πολεμεῖ με πάθη, ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.

ΟἹ μισοῦντες Σιὼν, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου, ὡς χόρτος γὰρ πυρὶ, ἔσεσθε ἀπεξηραμμένοι. Δόξα, καὶ νῦν.

ἉΓίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Προσόμοια. ἦχος δ΄. Ἔδωκας σημείωσιν.

ὪΝ πως φοβερώτατον, τὸ τοῦ θανάτου μυστήριον. πῶς ψυχὴ ἐκ τοῦ σώματος, βιαίως χωρίζεται, ἐκ τῆς ἁρμονίας, καὶ τῆς συμφυΐας. ὁ φυσικώτατος θεσμὸς, θείῳ βουλήματι ἀποτέμνεται. διό σε ἱκετεύομεν τὸν μεταστάντα ἀνάπαυσον, ἐν σκηναῖς τῶν δικαίων σου, ζωοδότα φιλάνθρωπε.

ΣΥ δικαιοσύνη τε, ἁγιασμὸς ἡμῖν γέγονας, καὶ ψυχῶν ἀπολύτρωσις. Πατρὶ γὰρ προσήγαγες δεδικαιωμένους, καὶ λελυτρωμένους. ἀναδειξάμενος ἡμῶν, τὸ ὀφειλόμενον ἐπιτίμιον. καὶ νῦν ἐκδυσωποῦμέν σε, τὸν μεταστάντα ἀνάπαυσον, ἐν φωτὶ τῶν ὁσίων σου, καὶ δικαίων λαμπρότησιν.

Δόξα, καὶ νῦν. Ὅμοιον.

ΡΗ΄σεσιν ἑπόμενοι, τῶν θεηγόρων πανάμωμε. Θεοτόκον φρονοῦμέν σε,



ΠΑΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Θεὸν γὰρ ἐγέννησας σεσωματωμένον, ἀπερινοήτως. τὸν λυτρωσάμενον ἡμᾶς, δεδουλωμένους τοῖς παραπτώμασιν, καὶ νῦν αὐτὸν δυσώπησον, τὸν μεταστάντα οἰκέτην σου ταῖς οἰκείαις ἐλλάμψεσι, καταυγάσαι πανάχραντε.

Ζ'. Προκείμενον τοῦ Ἀποστόλου. στίχ.

Μακαρία ἡ ὁδὸς, ἡ πορεύῃ σήμερον.

Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου.

Πρὸς Κορινθίους Ἐπιστολῆς.

Ἀδελφοί, Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο· ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν. ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται. ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι. ἀπαρχὴ Χριστὸς, ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ. εἶτα τὸ τέλος. ὅταν παραδῷ τὴν Βασιλείαν τῷ Θεῷ, καὶ Πατρί. ὅταν καταργήσει πᾶσαν ἀρχὴν, καὶ ἐξουσίαν, καὶ δύναμιν. δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος, πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα ἐν πᾶσι.

Ζ'. Εὐαγγέλιον. ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος, πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους. ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. οἱ πατέρες ὑμῶν, ἔφαγον τὸ Μάννα ἐν τῇ ἐρήμῳ, καὶ ἀπέθανον. οὗτός ἐστιν ὁ ἄρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τὶς ἐξ αὐτοῦ φάγῃ, καὶ μὴ ἀποθάνῃ. ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. καὶ ὁ ἄρτος δὲ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν, ἣν ἐγὼ δώσω. ὑπὲρ τῆς τοῦ Κόσμου ζωῆς. ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι, λέγοντες. πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα φαγεῖν; εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς. ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

Καὶ μυστικῶς μνημονεύει.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης.

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ.

Οἱ

ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ ὅταν δὲ [illegible] πάντα

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Οἱ ἀναβαθμοὶ ἦχος πλ. α'.

Ἐν τῷ θλίβεσθαί με, δαβιτικῶς ᾄδουσι σωτήρ μου. ῥῦσαί μου τὴν ψυχὴν, ἐκ γλώσσης δολίας.

Τοῖς ἐρημικοῖς, ζωὴ μακαρία ἐστὶ. θεϊκῷ ἔρωτι πτερουμένοις.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, περικρατεῖται πάντα, τὰ ὁρατὰ σὺν τοῖς ἀοράτοις. αὐτοκρατὲς γὰρ ὂν τῆς τριάδος, ἓν ἐστὶν ἀψευδῶς.

Προσόμοια ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν ἀληθῶς.

Αἴγλη τοῦ σοῦ προσώπου Χριστέ. τὸν μεταστάντα ὡς οἰκτίρμων κατάταξον. σκηνώσας εἰς τόπον χλόης, ἐπὶ ὕδατων τῆς σῆς, ἀκραιφνοῦς, καὶ θείας ἀπολαύσεως, ἐν κόλποις ἀνέσεως, Ἀβραὰμ τοῦ προπάτορος. ἔνθα τὸ φῶς σου, καθαρῶς ἀναφαίνεται, καὶ προχέουσιν, αἱ πηγαὶ τῆς χρηστότητος. ἔνθα περιχορεύουσι, φαιδρῶς ἀγαλλόμενοι, πάντων δικαίων οἱ δῆμοι. περὶ τὴν σὴν ἀγαθότητα. μεθ' ὧν καταστήσας, τὸν οἰκέτην σου παράσχου, τὸ μέγα ἔλεος.

Ὅπου τῶν Προφητῶν ὁ χορὸς, τῶν Ἀποστόλων, καὶ Μαρτύρων τὰ τάγματα, καὶ πάντων τῶν ἀπ' αἰῶνος, δικαιωθέντων τῷ σῷ, σωτηρίῳ πάθει, καὶ τῷ αἵματι. δι' οὗ ἐξηγόρασας, τὸν αἰχμάλωτον ἄνθρωπον. ἐκεῖ τὸν πιστεύσαντα, κοιμηθέντα ἀνάπαυσον. ὡς φιλάνθρωπος, συγχωρῶν καὶ τὰ πταίσματα, μόνος γὰρ ἀναμάρτητος, ἐν γῇ πεπολίτευσαι. Ἅγιος μόνος, καὶ μόνος, ἐν τεθνεῶσιν ἐλεύθερος. μεθ' ὧν τῷ σῷ δούλῳ, τὴν ἀνάπαυσιν παράσχου, καὶ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Νόμῳ τῆς ἁμαρτίας ἡμᾶς. δεδουλωμένους ἠλευθέρωσας δέσποινα. ἐν μήτρᾳ, τὸν νομοδότην, καὶ Βασιλέα Χριστὸν. συλλαβοῦσα μόνη Μητροπάρθενε. δι' οὗ δικαιούμεθα, δωρεὰ τε, καὶ χάριτι. ὃν νῦν δυσώπει, τὰς ψυχὰς τῶν ὑμνούντων σε, θεομήτορα, Βίβλῳ ζώντων ἐγγράφεσθαι ὅπως τῇ μεσιτείᾳ σου, σωθέντες πανάμωμε. τῆς τοῦ υἱοῦ σου εὐκταίας, ἀπολυτρώσεως τύχοιμεν. αὐτὸν προσκυνοῦντες, τὸν παρέχοντα τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Η'. Προκείμενον τοῦ Ἀποστόλου.

Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται. στίχ.

Πρὸς σὲ Κύριε κεκράξομαι ὁ Θεός μου.

Πρὸς Γαλάτας.

Ἀδελφοί. εἰδότες, ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ. καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα

δικαιω-

δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ, καὶ οὐκ ἐξ ἔργων νόμου. διότι οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σάρξ. οἱ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ, εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί. ἄρα Χριστὸς ἁμαρτίας διάκονος, μὴ γένοιτο. εἰ γὰρ ἃ κατέλυσα ταῦτα πάλιν οἰκοδομῶ παραβάτην ἐμαυτὸν συνίστημι. ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον. ἵνα Θεῷ ζήσω, Χριστῷ συνεσταύρωμαι. ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ.

Η'. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους. ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει. τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεός. εἶπον οὖν πρὸς αὐτόν. τί ποιῶμεν, ἵνα ἐργαζόμεθα τὰ ἔργα τοῦ Θεοῦ; ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς, τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε, εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. εἶπον οὖν αὐτῷ. τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα εἴδωμεν, καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ; οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστι γεγραμμένον, ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν. εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς. ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ' ὁ Πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν. ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ, καὶ ζωὴν διδοὺς τῷ Κόσμῳ.

Καὶ μνημονεύει μυστικῶς. Οἱ ἀναβαθμοὶ ἦχος πλ. β'.

Ἐν τῷ οὐρανῷ τοὺς ὀφθαλμούς μου αἴρω πρὸς σὲ λόγε. οἰκτείρόν με ἵνα ζῶσοι.

Ε'Δέησον ἡμᾶς, τοὺς ἐξουθενημένους. καταρτίζων εὔχρηστα σκεύη σου λόγε.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πανσωστικὴ αἰτία, εἴ τινι τοῦτο κατ' ἀξίαν πνεύσει, ταχεῖ ἐξαίρει τῶν τῆς γῆς, πτεροῖ, αὔξει, τάττει ἄνω.

Προσόμοια ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Ἔχων ἀκατάληπτον, τὴν εἰς ἡμᾶς εὐσπλαγχνίαν, καὶ πηγὴν ἀκένωτον, θεϊκῆς χρηστότητος πολυέλεε. τὸν πρὸς σὲ δέσποτα μεταβεβηκότα, ἐν γῇ ζώντων κατασκήνωσον. εἰς τὰ σκηνώματα, τὰ ἀγαπητὰ, καὶ ποθούμενα. κατάσχεσιν δωρούμενος, τὴν διηνεκῶς διαμένουσαν. σὺ γὰρ ὑπὲρ πάντων, ἐξέχεας τὸ αἷμά σου Χριστὲ, καὶ ζωηφόρῳ τιμήματι, Κόσμον ἐξηγόρας.





Ζώντων κυριεύοντα, θεαρχικῇ ἐξουσίᾳ. καὶ νεκρῶν δεσπόζοντα. σὲ Χριστὲ γινώσκοντες ἱκετεύομεν, τὸν πιστὸν δοῦλόν σου. τὸν πρὸς σὲ τὸν μόνον, εὐεργέτην ἐκδημήσαντα. αὐτὸν ἀνάπαυσον, σὺν τοῖς ἐκλεκτοῖς σου φιλάνθρωπε, ἐν τόποις ἀναψύξεως. ἐν ταῖς τῶν Ἁγίων λαμπρότησιν, θελητὴς ἐλέους ὑπάρχεις γὰρ, καὶ σώζεις ὡς Θεὸς, οὓς κατ' εἰκόνα σου ἔπλασας μόνε πολυέλεε.

Δόξα, καὶ νῦν Ὅμοιον.

Ὤφθης ἐνδιαίτημα, θεοπρεπὲς πανάγια. Θεὸν γὰρ ἐχώρησας. καὶ Χριστὸν ἐγέννησας ἀπειρόγαμε. ἐν δυσὶ φύσεσιν, ἐν οὐσίαις δύο. ἐν μιᾷ τῇ ὑποστάσει δέ. ὃν ἐκδυσώπησον. ὡς μονογενῆ, καὶ πρωτότοκον. τὸν σὲ Παρθένον ἄμωμον, καὶ μετὰ τὸν τόκον φυλάξαντα. ψυχὴν ἀναπαῦσαι. τοῦ πίστει κοιμηθέντος εὐσεβῶς, ἐν ἀκηράτῳ φαιδρότητι, καὶ μακαριότητι.

Θ'. Προκείμενον τοῦ Ἀποστόλου.

Μακαρία ἡ ὁδὸς, ἣ πορεύῃ σήμερον ἀδελφέ. στίχ.

Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου.

Πρὸς Κορινθίους Ἐπιστολῆς.

Ἀδελφοί. οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρύνθημεν ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς, καὶ τοῦ ζῆν. ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς, τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν. ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ, τῷ ἐγείραντι τοὺς νεκρούς. ὃς ἐκ τηλικούτου θανάτου ἐρρύσατο ἡμᾶς, καὶ ῥύεται, εἰς ὃν ἠλπίκαμεν, ὅτι καὶ ῥύσεται. συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει. ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα, διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν.

Θ. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος, πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους, εἰ ὁ Θεὸς, Πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ. ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον, καὶ ἥκω. οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλε. διατί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν. ὑμεῖς ἐκ τοῦ Πατρὸς τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ Πατρὸς ὑμῶν θέλετε ποιεῖν. ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ. ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστὶ, καὶ ὁ Πατὴρ αὐτοῦ. ἐγὼ δὲ, ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι. τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; εἰ δὲ ἀλήθειαν λέγω, διατί ὑμεῖς οὐ πιστεύετέ μοι; ὁ ὢν ἐκ τοῦ Θεοῦ, τὰ ῥήματα τοῦ



ΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ … ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ματα τοῦ Θεοῦ ἀκούει. διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ Θεοῦ οὐκ ἐστέ. ἀ-
ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι, καὶ εἶπον αὐτῷ, οὐ καλῶς λέγομεν ἡμεῖς,
ὅτι σαμαρείτης εἶ σύ, καὶ δαιμόνιον ἔχεις; ἀπεκρίθη Ἰησοῦς. ἐγὼ δαι-
μόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν Πατέρα μου, καὶ ὑμεῖς ἀτιμάζετέ με. ἐγὼ δὲ
οὐ ζητῶ τὴν δόξαν μου. ἔστιν ὁ ζητῶν, καὶ κρίνων. ἀμὴν ἀμὴν λέγω ὑμῖν.
ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα.

Καὶ μνημονεύει μυστικῶς.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα, ἔλεός σου.
Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης.

Οἱ ἀναβαθμοὶ ἦχος βαρύς.

ΤΗν αἰχμαλωσίαν Σιὼν, ἐκ πλάνης ἐπιστρέψας, κἀμὲ Σωτὴρ ζώωσον,
ἐξαίρων δουλοπαθείας.
ἘΝ τῷ νότῳ ὁ σπείρων θλίψεις, νηστείας μετὰ δακρύων, οὗτος χαρᾶς
δρέψεται δράγματα ἀεὶ ζωοτροφίας.

Δόξα, καὶ νῦν.

ἉΓίῳ Πνεύματι, πηγὴ τῶν θείων θησαυρισμάτων, ἐξ οὗ σοφία, σύνε-
σις, δόξα, τιμὴ, καὶ κράτος.

Προσόμοια ἦχος βαρύς. Καταφρονήσαντες.

ΝΕνεκρωμένος ὡράθης ἐπὶ Σταυροῦ μόνε ἀθάνατε, καὶ ἐν τάφῳ ὡς θνη-
τὸς ἐτέθης μακρόθυμε. καὶ φθορᾶς, καὶ θανάτου τοὺς ἀνθρώπους λυτρωσά-
μενος, ἀλλ᾽ ὡς πέλαγος εὐσπλαγχνίας ὑπάρχων ἀκένωτον, καὶ πηγὴ
ἀγαθότητος, τὴν ψυχὴν τοῦ δούλου, τοῦ ἐξ ἡμῶν μεταστάντος ἀνάπαυσον.
ΤΩ͂ ἀκηράτῳ σου κάλλει, καὶ γλυκασμῷ τῆς σῆς ὡραιότητος, καὶ ταῖς τοῦ
θείου σου φωτὸς ἀκτῖσιν ἐλλάμπεσθαι. τὸν πρὸς σὲ μεταστάντα, ἀγαθὲ
καταξίωσον. ἐν ἀΰλῳ φωτοχυσίᾳ, τῆς φωτοφανείας σου, σὺν ἀγγέλοις
χορεύοντα. περὶ σὲ τὸν δεσπότην, καὶ Βασιλέα τῆς δόξης, καὶ Κύριον.

Δόξα, καὶ νῦν. Ὅμοιον.

ΝΟ᾽ μου τὸ πλήρωμα τίκτεις. τὸν λυτρωτὴν σάρκα γενόμενον. οὐ γὰρ ἐγέ-
νετο τοῖς πρὶν, ἐν νόμῳ δικαίωσις. δι᾽ ἡμᾶς ὁ Χριστὸς νῦν σταυρωθεὶς
ἐδικαίωσεν. ὡς οὖν ἔχουσα παῤῥησίαν, ὡς Μήτηρ ἱκέτευε. τὸν υἱόν σου
τὸν εὔσπλαγχνον, τὴν ψυχὴν ἀναπαῦσαι. τοῦ ἐξ ἡμῶν μεταστάντος πα-
νύμνητε.

Προκείμενον τοῦ Ἀποστόλου.

Μακαρία ἡ ὁδὸς, ᾗ πορεύῃ σήμερον. στίχ.
Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Πρὸς Ἑβραίους Ἐπιστολῆς.

ἈΔελφοί. ὡς δι᾽ ἑνὸς παραπτώματος, εἰς πάντας ἀνθρώπους εἰσῆλθε τὸ
κατάκριμα, οὕτω καὶ δι᾽ ἑνὸς δικαιώματος, εἰς πάντας ἀνθρώπους ἡ δι-
καιοσύνη εἰς ζωήν. ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁ-
μαρτωλοὶ κατεστάθησαν πολλοὶ, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς ἀν-
θρώπου, δίκαιοι κατασταθήσονται πολλοί. νόμος δὲ παρεισῆλθεν, ἵνα
μὴ πλεονάσῃ τὸ παράπτωμα. ὅπου δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, εἰσῆλθε
καὶ ὁ θάνατος. ἵνα ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτω
καὶ ἡ χάρις βασιλεύσει διὰ τῆς δικαιοσύνης εἰς ζωὴν αἰώνιον.

Γ.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

ΕἾπεν ὁ Κύριος, πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους. ἀμὴν ἀμὴν λέ-
γω ὑμῖν. ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ θάνατον οὐ μὴ θεωρήσῃ εἰς
τὸν αἰῶνα. εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι. νῦν ἐγνώκαμεν, ὅτι δαιμόνιον
ἔχεις. Ἀβραὰμ ἀπέθανε, καὶ οἱ προφῆται, καὶ σὺ λέγεις, ἐάν τις τὸν λό-
γον μου τηρήσῃ, οὐ μὴ γεύσηται θανάτου εἰς τὸν αἰῶνα; μὴ σὺ μείζων εἶ τοῦ
Πατρὸς ἡμῶν Ἀβραὰμ, ὅστις ἀπέθανε; καὶ οἱ Προφῆται ἀπέθανον. τί-
να σεαυτὸν ποιεῖς; ἀπεκρίθη Ἰησοῦς. ἐὰν ἐγὼ δοξάζω ἐμαυτὸν, ἡ δόξα
μου οὐδέν ἐστιν. ἔστιν ὁ Πατήρ μου ὁ δοξάζων με, ὃν ὑμεῖς λέγετε, ὅτι Θεὸς
ἡμῶν ἐστὶ, καὶ οὐκ ἐγνώκατε αὐτὸν, ἐγὼ οἶδα αὐτόν. καὶ ἐὰν εἴπω, ὅτι οὐκ οἶ-
δα αὐτὸν, ἔσομαι ὅμοιος ὑμῶν ψεύστης. ἀλλ᾽ οἶδα αὐτὸν, καὶ τὸν λόγον αὐ-
τοῦ τηρῶ. Ἀβραὰμ ὁ Πατὴρ ἡμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν
ἐμήν. καὶ εἶδε, καὶ ἐχάρη. εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς αὐτόν. πεντήκοντα ἔτη
οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας; εἶπεν αὐτοῖς ὁ Ἰησοῦς. ἀμὴν ἀμὴν
λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι. ἦραν οὖν λίθους, ἵνα βάλ-
λωσιν ἐπ᾽ αὐτόν. Ἰησοῦς δὲ ἐκρύβη, καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ, διελθὼν
διὰ μέσου αὐτῶν, καὶ παρῆγεν οὕτως.

Καὶ μνημονεύει μυστικῶς.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.
Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης.

Οἱ ἀναβαθμοὶ ἦχος πλ. δ'.

ἘΚ νεότητός μου ὁ ἐχθρός με πειράζει, ταῖς ἡδοναῖς φλέγει με. ἐγὼ δὲ
πεποιθὼς ἐν σοὶ Κύριε τροποῦμαι τοῦτον.
ΟἹ μισοῦντες Σιὼν, γενηθήτωσαν δὴ πρὶν ἐκσπασθῆναι ὡς χόρτος. συγ-
κόψει γὰρ Χριστὸς αὐχένας αὐτῶν. τομῇ βασάνων.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὸ ζῆν τὰ πάντα. φῶς ἐκ φωτὸς Θεὸς μέγας. σὺν Πατρὶ ὑμνοῦμεν αὐτό, καὶ τῷ λόγῳ.

Στιχηρ. Προσόμοια ἦχος πλ. δ΄. Ὢ τοῦ Παραδόξου θαύματος.

Βασιλικῶς μοι ὑπέγραψας. ἐλευθερίαν βαφαῖς. ἐρυθραῖς τοὺς δακτύλους σου. αἱματώσας δέσποτα. καὶ φοινίξας σῷ αἵματι. διὸ σε πίστει καθικετεύομεν. τοῖς πρωτοτόκοις σου συναρίθμησον, καὶ τῶν δικαίων σου. τῆς χαρᾶς ἀξίωσον ἐπιτυχεῖν. τὸν μεταφοιτήσαντα πρὸς σὲ τὸν εὔσπλαγχνον.

Ἐπαρχήσας ὡς ἄνθρωπος. σφαγιασθεὶς ὡς ἀμνός. προσφορὰν προσενήνοχας τῷ Πατρὶ τὸν ἄνθρωπον, τῆς φθορᾶς ἐξαιρούμενος. τὸν μεταστάντα οὖν ὡς φιλάνθρωπος. ἐν τῇ τῶν ζώντων χώρᾳ κατάταξον. ἔνθα οἱ χείμαρροι, τῆς τρυφῆς προχέονται. ἔνθα πηγαί, τῆς ἀϊδιότητος ἀναβλυστάνουσι.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Ὡς συλλαβοῦσα τὸν ἄναρχον. λόγον Θεοῦ, καὶ Πατρός. μητρικῇ παρρησίᾳ σου. ἐκτενῶς ἱκέτευε, κατατάξαι τὸν δοῦλόν σου. ἔνθα χορεία ἡ ἀκατάλυτος, εὐφραινομένων, καὶ εὐφημούντων σε. ἔνθα λαμπρότητες, αἱ διαιωνίζουσαι καὶ ὁ γλυκὺς ἦχος ἑορτάζοντος θεογεννήτρια.

Προκείμενον τοῦ Ἀποστόλου.

ΙΑ. Μακαρία ἡ ὁδός, ᾗ πορεύῃ σήμερον ἀδελφέ. στίχ.

Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου.

Πρὸς Κορινθίους Ἐπιστολῆς.

Ἀδελφοί. ὁ Πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός. ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος ἐξ οὐρανοῦ. οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί. καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. τοῦτο δὲ φημὶ ἀδελφοί. ὅτι σὰρξ, καὶ αἷμα Βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται. οὐδὲ ἡ φθορά, τὴν ἀφθαρσίαν κληρονομεῖ. ἰδοὺ μυστήριον ὑμῖν λέγω. πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ ἐν τῇ ἐσχάτῃ σάλπιγγι. σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐγείρονται ἄφθαρτοι. καὶ ἡμεῖς ἀλλαγησόμεθα. δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο, ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. ὅταν δὲ τὸ φθαρτὸν τοῦτο, ἐνδύσηται ἀφθαρσίαν. καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν. τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος. κατεπόθη ὁ θάνατος εἰς νῖκος ποῦ σου θάνατε τὸ κέντρον, ποῦ σου ᾅδη τὸ νῖκος. τὸ μὲν κέντρον τοῦ θανάτου ἡ ἁμαρτία,

ἡ δὲ



ἡ δὲ δύναμις τῆς ἁμαρτίας, ὁ νόμος. τῷ δὲ Θεῷ χάρις, τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΙΑ΄. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος, πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους. ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ Σάββατον, ἀλλὰ καὶ Πατέρα ἴδιον ἔλεγε τὸν Θεόν ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς. ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ᾽ ἑαυτοῦ οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα. ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. ὁ γὰρ Πατὴρ φιλεῖ τὸν υἱόν, καὶ πάντα δείκνυσιν αὐτῷ, ἃ αὐτὸς ποιεῖ, καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε. ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκρούς, καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα. ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ, ἵνα πάντες τιμῶσι τὸν υἱὸν καθὼς τιμῶσι τὸν Πατέρα, τὸν πέμψαντα αὐτόν. ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.

Καὶ μνημονεύει μυστικῶς.

Οἱ δὲ χοροὶ ψάλλουσι τοὺς μακαρισμούς. ἦχ. πλ. β΄.

Ἐν τῇ Βασιλείᾳ σου μνήσθητι ἡμῶν Κύριε. μακάριοι οἱ πτωχοὶ τῷ Πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ Βασιλεία τῶν οὐρανῶν.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Μακάριοι οἱ πεινῶντες, καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι.

Ἡ στολὴ τοῦ παραδείσου Χριστὲ πολίτην, ἐπὶ σταυροῦ σοι Βοήσαντα τό, μνήσθητί μου προαπειργάσω, αὐτοῦ τῆς μετανοίας ἀξίωσον κἀμὲ τὸν ἀνάξιον.

Μακάριοι οἱ καθαροὶ τῇ.

Ὁ τῶν ψυχῶν δεσπόζων, καὶ τῶν σωμάτων, οὗ ἐν τῇ χειρὶ ἡ πνοὴ ἡμῶν τῶν θλιβομένων. γενοῦ παραμυθία τῶν πενθούντων, καὶ στρέψον τὸν κλαυθμὸν εἰς χαρὰν ἡμῶν.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Μακάριοι οἱ εἰρηνοποιοί.

Χριστὸς σὲ ἀναπαύσει ἐν χώρᾳ ζώντων, καὶ πύλας παραδείσου ἀνοίξοι σοι· καὶ Βασιλείας δείξοι πολίτην. καὶ ἄφεσιν δώσοι, ὧν ἐπράξας ἐν βίῳ φιλόχριστε.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης.

Ἐξέλθωμεν, καὶ ἴδωμεν ἐν τοῖς τάφοις, ὅτι γυμνὰ ὀστέα ὁ ἄνθρωπος. σκωλήκων βρῶμα, καὶ δυσωδία. καὶ γνῶμεν τί τὸ κάλλος ἢ ἰσχὺς, καὶ ἡ εὐπρέπεια:

Μακάριοι ἐστὲ ὅταν ὀνειδίσωσιν ὑμᾶς.

Ἀκούσωμεν τί κράζει ὁ παντοκράτωρ. οὐαὶ οἱ ἐκζητοῦντες θεάσασθαι, τὴν φοβερὰν ἡμέραν Κυρίου, καὶ αὕτη ἐστὶ σκότος, πυρὶ γὰρ δοκιμάσει τὰ σύμπαντα.

Χαίρετε, καὶ ἀγαλλιᾶσθε, ὅτι.

Ὁ Ζωῆς κυριεύων, καὶ τοῦ θανάτου, ἐν ταῖς αὐλαῖς σου ἀνάπαυσον, ὃν προσελάβου ἐκ τῶν προσκαίρων, καὶ κατάταξον ἐν βίβλῳ τῶν δικαίων, ὡς εὔσπλαγχνος.

Δόξα.

Ἄναρχον καὶ γεννήσαντα, καὶ πρόοδον πατέρα προσκυνῶ τὸν γεννήσαντα, υἱὸν δοξάζω τὸν γεννηθέντα. ὑμνῶ τὸ συνεκλάμπον Πατρί τε, καὶ υἱῷ Πνεῦμα Ἅγιον.

Καὶ νῦν. Θεοτοκίον.

Πῶς ἐκ μαζῶν σου γάλα βρύεις Παρθένε, πῶς τρέφεις τὸν τροφέα τῆς κτίσεως, ὡς εἶδεν ὁ πηγάσας ὕδωρ ἐκ πέτρας. τὰς φλέβας τῶν ὑδάτων, καθὼς γέγραπται.

Προκείμενον τοῦ Ἀποστόλου.

Μακαρία ἡ ὁδὸς ᾗ πορεύῃ σήμερον ἀδελφέ. στίχ.

Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου.

Πρὸς Κορινθίους Ἐπιστολῆς.

Ἀδελφοί. οὐ πᾶσα σὰρξ, ἡ αὐτὴ σάρξ. ἀλλὰ ἄλλη μὲν ἀνθρώπων. ἄλλη δὲ κτηνῶν. ἄλλη δὲ ἰχθύων. ἄλλη δὲ πετεινῶν. καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια. ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων. ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. οὕτω, καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. σπείρεται ἐν φθορᾷ ἐγείρεται ἐν ἀφθαρσίᾳ, σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ. σπείρεται ἐν ἀσθενείᾳ ἐγεί-

ΕΙΟΣ ΒΙΒΛΙΟΘΗ… ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



ἐγείρεται ἐν δυνάμει. σπείρεται σῶμα ψυχικὸν, ἐγείρεται σῶμα πνευματικόν. ἔστι σῶμα ψυχικὸν, καὶ ἔστι σῶμα Πνευματικὸν οὕτω, καὶ γέγραπται ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ, εἰς ψυχὴν ζῶσαν, ὁ

ΙΒ'. ἔσχατος ἀδὰμ εἰς Πνεῦμα ζωοποιοῦν.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

Τῷ καιρῷ ἐκείνῳ, ὅτε ἤγγισεν ὁ Ἰησοῦς εἰς Βηθανίαν ὅπου ἦν Λάζαρος ὁ τεθνηκώς. ἡ οὖν Μάρθα ὑπήντησε τῷ Ἰησοῦ, καὶ λέγει αὐτῷ, Κύριε. εἰ ἦς ὧδε οὐκ ἂν ἀπεθανέ μου ὁ ἀδελφός. ἀλλὰ, καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃς τὸν Θεὸν, δώσει σοι ὁ Θεός. λέγει αὐτῇ ὁ Ἰησοῦς ἀναστήσεται ὁ ἀδελφός σου. λέγει αὐτῷ ἡ Μάρθα. οἶδα, ὅτι ἀναστήσεται ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ. εἶπεν οὖν αὐτῇ ὁ Ἰησοῦς. ἐγώ εἰμι ἡ ἀνάστασις, καὶ ἡ ζωή. ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται. καὶ πᾶς ὁ ζῶν, καὶ πιστεύων εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. πιστεύεις τοῦτο. λέγει αὐτῷ ναὶ Κύριε. ἐγὼ πεπίστευκα, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ ὁ εἰς τὸν Κόσμον ἐρχόμενος.

Προσόμοια ἦχος β. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε ἀδελφοὶ συλλειτουργοί. γνῶμεν τὸ ἐξαίσιον τέλος, τῆς ἐπιμόχθου ζωῆς. δεῦτε ἀσπασώμεθα τὸν πρὸ μικροῦ μεθ' ἡμῶν. ἀδελφὸν, καὶ συνόμιλον προπέμποντες ἅμα. οὗτος γὰρ ἐξέλειπεν, ἀπὸ τοῦ κλήρου ἡμῶν. ὕμνον τῷ Θεῷ ἀνυμνοῦντες. Κύριε ἀνάπαυσον τοῦτον μετὰ τῶν Ἁγίων σου ὡς εὔσπλαγχνος.

Οἴμοι ποία ὥρα φοβερά. οἴμοι χωρισμὸς συνοδίας καὶ ἀδελφότητος. ἄφνω γὰρ ἐξέλειπον χοροστασίας ὑμῶν. ποίας δόξης ἐστέρημαι γνωστοί μου, καὶ φίλοι, ποῦ δὲ ἀπελεύσομαι ὡς χωρισθεὶς ἀφ' ὑμῶν. πάντες τὸν Θεὸν δυσωπεῖτε, δοῦναί μοι τὴν ἄφεσιν οἴμοι τῶν πλημμελημάτων ὡς φιλάνθρωπος.

Θρῆνος, καὶ κλαυθμὸς, καὶ ὀδυρμός. νῦν ἐν τῇ παρούσῃ ἡμέρᾳ, τῆς ἐκδημίας τῆς σῆς. φίλε, καὶ συνόμιλε πᾶσι γεγένηται, τῆς γὰρ σῆς μνημονεύοντες ἀρετῆς ἀγάπης. δάκρυσι προσπίπτομεν τῷ ἀθανάτῳ Θεῷ δοῦναι ἱλασμὸν τῶν πταισμάτων, καὶ τῆς βασιλείας τυχεῖν σε τῆς ἐπουρανίου ἱκετεύομεν.

Ζάλῃ πυρπολούμενον Χριστέ. πίστει σοι δουλεῦσαι, καὶ φόβῳ τὸν σὸν οἰκέτην σαφῶς ἅπερ εἰργάσατο, καὶ ἐπλημμέλησεν. ἐν τῷ βίῳ ὡς ἄνθρωπος, ζητεῖς γὰρ τοῦ σῶσαι. μόνον ἀφορμὴν ἡμᾶς, ὁ φύσει εὔσπλαγχνος ἤδη πα-

ἤδη παραβλέπων ἐκείνου ὅσα, ἐπλημμέλησε λόγῳ τῇ φιλανθρωπίᾳ σου σωζόμενος.

*Δόξα ἦχος πλ. β'.*

Ὁρῶντές με ἄφωνον, καὶ ἄπνουν προκείμενον κλαύσατε πάντες ἐπ' ἐμοί. Ἀδελφοί, καὶ φίλοι συγγενεῖς, καὶ γνωστοὶ τὴν γὰρ χθὲς ἡμέραν μεθ' ὑμῶν ἐλάλουν. Καὶ ἄφνω ἐπῆλθέ μοι ἡ φοβερὰ ὥρα τοῦ θανάτου. Ἀλλὰ δεῦτε πάντες οἱ ποθοῦμενοί μοι, καὶ ἀσπάσασθέ με τὸν τελευταῖον ἀσπασμόν. Οὐκ ἔτι γὰρ μεθ' ὑμῶν πορεύσομαι ἢ συλλαλήσω τοῦ λοιποῦ. Εἰς κριτὴν γὰρ ἀπέρχομαι, ἔνθα προσωποληψία οὐκ ἔστι. Δοῦλος γάρ, καὶ δεσπότης ὁμοῦ παρίστανται. βασιλεύς, καὶ στρατιώτης πλούσιος, καὶ πένης ἐν ἀξιώματι ἴσῳ. Ἕκαστος γὰρ ἐκ τοῦ ἰδίου ἔργου, ἢ δοξασθήσεται, ἢ αἰσχυνθήσεται. Ἀλλ' αἰτῶ πάντας, καὶ δυσωπῶ ἀδιαλείπτως ὑπὲρ ἐμοῦ προσεύξασθαι Χριστῷ τῷ Θεῷ. Ἵνα μὴ καταταγῶ διὰ τὰς ἁμαρτίας μου εἰς τὸν τόπον τῆς βασάνου. Ἀλλ' ἵνα με κατατάξῃ ὅπου τὸ φῶς τῆς ζωῆς.

*Καὶ νῦν Θεοτοκίον.*

Πρεσβείαις τῆς τεκούσης σε Χριστέ, καὶ τῶν Μαρτύρων σου, Ἀποστόλων, Προφητῶν, Ἱεραρχῶν, ὁσίων, καὶ δικαίων, καὶ πάντων τῶν Ἁγίων. τὸν κοιμηθέντα δοῦλόν σου ἀνάπαυσον.

*Εἶτα τὸ Τρισάγιον. Ὅτι σοῦ ἐστίν.*

*Καὶ τὰ τροπάρια ταῦτα.*

Μετὰ πνευμάτων δικαίων τετελειωμένων τὴν ψυχὴν τοῦ δούλου σου, Σῶτερ ἀνάπαυσον, φυλάττων αὐτὴν εἰς τὴν μακαρίαν ζωὴν τὴν παρὰ σοῦ φιλάνθρωπε.

Ἐν τῇ καταπαύσει σου Κύριε ὅπου πάντες οἱ Ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον Κύριε τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

*Δόξα.*

Σὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ καταβὰς εἰς ᾅδην τὰς ὀδύνας τῶν πεπεδημένων ἔλυσας, καὶ τὴν ψυχὴν τοῦ δούλου σου Σῶτερ ἀνάπαυσον.

*Καὶ νῦν.*

Ἡ μόνη ἁγνή, καὶ ἄχραντος Παρθένος ἡ Θεὸν ἀσπόρως κυήσασα πρέσβευε τοῦ ἀναπαῦσαι τὴν ψυχὴν αὐτοῦ.

*Εἶτα μνημονεύει ὁ ἀρχιμανδρίτης.*

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

*Καὶ Ἀπόλυσις.*

Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις

τῆς πα-



της παναχράντου αὐτοῦ μητρὸς δυνάμει τοῦ τιμίου, καὶ ζωοποιοῦ σταυροῦ τῶν Ὁσίων, καὶ θεοφόρων Πατέρων ἡμῶν, καὶ πάντων τῶν Ἁγίων.

*Καὶ εὐλογοῦντες τὸ λείψανον λέγουσιν.*

*Αἰωνία σου ἡ μνήμη ἀξιομακάριστε ὁ δεῖνα καὶ ἀείμνηστε.*

*Καὶ εὐθὺς ποιοῦντος εὐλογητὸν τοῦ ἀρχιμανδρίτου αἴρουσι τὸ λείψανον, καὶ εἰσοδεύουσι μετ' αὐτοῦ ἕως τοῦ τάφου ψάλλοντες τό.*

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς.

*Ἔπειτα τὰ ἰδιόμελα ταῦτα ἦχος πλ. δ'.*

Πνευματικοί μου ἀδελφοί, καὶ συλλειτουργοὶ μή μου ἐπιλάθεσθε, ὅταν ὑμνεῖτε τὸν Κύριον. ἀλλ' ὁρῶντές μου τὸν τόπον μνημονεύετέ μου καὶ τὸν τρόπον καὶ δυσωπεῖτε τὸν Θεὸν ὑπὲρ ἐμοῦ. ἵνα με καταλάβῃ, ὅπου τὸ φῶς τῆς ζωῆς.

*Ὁ αὐτός.*

Μνήσθητέ μου ἀδελφοί, καὶ συλλειτουργοί, οὐ μόνον ἐν ὥρᾳ συνάξεως. ἀλλὰ καὶ τῆς στάσεως, ἐν ᾗ ἵσταμαι, καὶ συνεύχομαι ὑμῖν.

*Δόξα ἦχος πλ. δ'.*

Ἡ ἀοίδιμος φωνή, ἡ τοῦ θείου Δαβίδ, σήμερον πληροῦται, ἄνθρωπος λέγουσα, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ. ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει. ὃν γὰρ πρὸ καιροῦ ἐβλέπομεν ζῶντα, καὶ λαλοῦντα, ἰδοὺ τέθαπται νεκρὸς ἐπὶ τοῦ τάφου. ἐξῆλθε, καὶ ἀπῆλθεν ἀπὸ τῶν ἐνθένδε. ἐκεῖθεν ὅπου ἡ χαρὰ πάντων τῶν Ἁγίων. μεθ' ὧν ἀνάπαυσον τὸν κεκοιμημένον. ὡς Θεὸς ἐλεήμων.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἁγνὴ Παρθένε τοῦ λόγου πύλη, τοῦ Θεοῦ ἡμῶν Μήτηρ, ἀνάπαυσον τὸν δοῦλόν σου.

*Εἶτα ἐκχέει ὁ προεστὼς τὴν κανδήλαν ἐπάνω τοῦ λειψάνου λέγων.*

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Γῆ ἡ χανοῦσα ὑπόδεξαι τὸν ἀπὸ σοῦ πλασθέντα χειρὶ Θεοῦ τὸ πρότερον, πάλιν δὲ ὑποστρέφοντα πρὸς σὲ τὴν τεκοῦσαν. τὸ γὰρ κατ' εἰκόνα ὁ κτίστης προσελάβετο, σὺ δὲ ὑπόδεξαι τὸ σῶμα τὸ ἴδιον. καθὼς εἶπας Κύριε τῇ Μάρθᾳ, ἐγώ εἰμι ἡ ἀνάστασις, ἔργῳ τὸν λόγον ἐπλήρωσας ἐξ ᾅδου καλέσας τὸν Λάζαρον, οὕτω καὶ τὸν δοῦλόν σου ἐκ τοῦ ᾅδου ἔγειρον φιλάνθρωπε.

Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοι-

ΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

οἱ κατοικοῦντες ἐν αὐτῇ.

Τρισάγιον. Παναγία Τριάς· Πάτερ ἡμῶν.

Ὅτι σοῦ. Καὶ τὰ τροπάρια.

ΜΝήσθητι Κύριε ὡς ἀγαθὸς τοῦ δούλου σου, καὶ ὅσα ἐν βίῳ ἥμαρτε συγχώρησον, οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ σὺ ὁ δυνάμενος, καὶ τῷ μεταστάντι δοῦναι τὴν ἀνάπαυσιν.

Μετὰ Πνευμάτων δικαίων τετελειωμένων.

Εἰς τὴν κατάπαυσίν σου Κύριε, ὅπου. Δόξα.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ καταβὰς εἰς ᾅδην. Καὶ νῦν

Ἡ μόνη ἁγνή, καὶ ἄχραντος Παρθένος, ἡ Θεόν.

Καὶ μνημονεύει ὁ ἀρχιμανδρίτης.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τό.

Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης.

Ὁ Θεὸς τῶν Πνευμάτων, καὶ πάσης σαρκός.

Ὅτι σὺ εἶ ἡ ἀνάστασις ἡ ζωή, καὶ ἡ.

Καὶ εὐθὺς ψάλλονται οἱ Εἱρμοὶ ἦχος πλ. β.

Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν.

Στερέωσον Κύριε ἐπὶ τὴν Πέτραν τῶν.

Ἀκήκοεν ὁ Προφήτης τὴν ἔλευσίν σου Κύριε καί.

Ἐκ νυκτὸς ὀρθρίζοντα φιλάνθρωπε φώτισον δέομαι.

Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου πρὸς τὸν οἰκτίρμονα.

Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν σου.

Ὃν στρατιαὶ οὐρανῶν δοξάζουσι, καὶ φρίττει τὰ χερ.

Ἀσπόρου συλλήψεως ὁ τόκος ἀνερμήνευτος.

Καὶ εὐθὺς ἀπόλυσις. ὁ ἀναστὰς ἐκ νεκρῶν.

# ΤΕΛΟΣ.